λόγου μας ἐλάμβαναν τὰ ἕτερα ἐννέα τάγματα κατὰ σειρὰν ἕνα ὑπὸ τοῦ ἄλλου· ὅμως ὁ πρῶτός μας Ἑωσφόρος δὲν εὐχαριστήθη εἰς αὐτό, ἀλλὰ ἐδῶ [f. 52v] *δοκιμάσῃ μὲ φαντασίαν τοῦ νοός του νὰ στήσῃ τὸν θρόνον του ὑψηλότερα ὑπὸ τοῦ Θεοῦ, καὶ ὅτε ἔφθασεν αὕτη ἡ ἐνθύμησις εἰς ὅλο μας τὸ τάγμα, τότες ἔγινεν μία ταραχὴ εἰς τὸ μέσον μας καὶ ἀρχίσαμεν νὰ πέφτωμεν ὡσὰν τὰ φύλλα τῶν δένδρων εἰς τὸν ἀέρα μετὰ βιαίας ὁρμῆς. Τότες ἐπρόφθασεν ὁ ἀρχάγγελος Μιχαὴλ καὶ ἔστη εἰς τὸ μέσον μετὰ μεγάλης φωνῆς καὶ εἶπεν· « Στῶμεν καλῶς, στῶμεν μετὰ φόβον Θεοῦ », καὶ ἔτζι ἐσταθήκαμεν ὁ καθένας ὅπου εὑρέθη, καὶ ὁ Ἑωσφόρος ὡς ὑψηλότερος ἔφθασεν εἰς τὰ χαμηλότερα μέρη τῆς γῆς, ἄλλοι ἐμέναμεν εἰς τὴν θάλασσαν, ἄλλοι εἰς τὴν γῆν, ἄλλοι εἰς τὸν ἀέρα καὶ ἄλλοι εἰς τὸν αἰθέρα* [f. 53] *τοῦ οὐρανοῦ καταδικασμένοι, ὥς μας βλέπεις, ἀπὸ ἀγγέλους ἐγενήκαμεν δαίμονες.*

Cf. f. 29 eiusdem codicis et Testamentum Salomonis, ibidem. p. 219, 26.

F. 67. *Ἐκεῖνον τὸν καιρὸν νὰ φίσουν τὸν Θεὸν οἱ τετυφλωμένοι ἄνθρωποι καὶ νὰ* [f. 67v] *μὴν ζητοῦν ἀπὸ αὐτὸν καμίαν βοήθειαν, ἀλλὰ νὰ προστρέχουν νὰ γητεύωνται εἰς κάποια κακογραΐδια ὁποῦ τοὺς ἔχομεν ἐργαστήριά μας καὶ νὰ πλανοῦν τοὺς ἀνθρώπους, καὶ ὅταν οἱ κακόγριες μαντεύουν ἔχουσιν συνήθειαν νὰ μετροῦν καὶ νὰ ξαναμετροῦν τοὺς μαντευομένους καὶ χάσκουσιν εἰς τὸν ἀέρα, καὶ τότες οἱ δαίμονες τρέχουσιν παραυτὰ καὶ κλάνουσιν εἰς τὰ στόματα τῶν γραΐδων, καὶ ὅταν τοὺς κλάσωσιν, πέρνηται ὁ νοῦς τους καὶ δὲν ἀνδρεύονται, < καὶ ἄγουν> τοὺς ἀνθρώπους εἰς ἐκεῖνα τὰ μασκαραλίκια ὁποῦ κάμνουν εἰς τοὺς ἀνθρώπους.*

1 *σηράν* 4 *ὅτι μίαν τὰραχὴν* 6 *πεύτομεν* 10 *ὅ* 15 Id est aetate octava *φήσον* 20 *μαντηβομένους* 21 *ἀέραν* 23 *ἀνρέποντε*

EXCERPTA EX CODICE 20
(Musaei Histor. Mosqu. 186)

Zodiologium.

In canone astrologicae praxis ut praecipuam partem huius canonis «zodiologia» semper invenimus (vide supra cod. 3 ff. 61 sqq., p. 123 sqq.). Tractatus codicis Mosquensis saec. XI exeuntis praesertim textui codicis Atheniensis 26 saec. XVII (*Cat.* X, p. 229 sqq.) affinis est; ambo zodiologia sine dubio ex eodem archetypo derivata sunt, sed textus recentissimi codicis Atheniensis valde deformatus et depravatus est: erroribus lacunisque librarii ignari scatet, quid vero subi Tauro genitis *σκορπίου ἀποβράχια* aut sub Scorpione *κέρας καὶ αὐρὰ ταύρου* etc. prodest? — multis pretiosissimis vetustatis vestigiis caret: de herbis magicis, imprimis *ἀπόσιστρον*, nihil legimus; congruentias astrologicas (*ὁ γὰρ γεννηθεὶς ἐν τῷ Ταύρῳ τληπαθὴς ἔσαι, ἐπειδὴ ὑπόζυγος ὡς ὁ ταῦρος ἕλκεται* etc. cod. Mosqu.), proverbia popularia (*ἔχων δύο ἀετοὺς ἐν τῇ κεφαλῇ* etc. cod. Mosqu.) non reperimus, rhythmum ipsum divinationis astrologicae non sentimus; ideo textum cod. Mosquensis, cum ad corrigendum et supplendum cod. Atheniensem 26 necessarius sit, edimus integrum.

De ceteris codicibus qui « zodiologia » praebent, cf. Delatte, *Cat.* X, p. 101 sq. et praesertim Zuretti, *Cat.* XI, 2, p. 115 ss., ubi tractatus partim editur, qui cum Mosquensi saepe congruit.

Ζῳδιολόγιον.

Cod. Musaei Hist. Mosqu. graec. 186 (=Vladim. 430), f. 144-156.

Ζῴδιον α' Κριὸς ἔχει γράμματα ιγ'.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Κριοῦ ἔσται εὐειδής, καλός, καλοθεώρητος, ἀναφάλαντος, λεπτοπρόσωπος, χαροποιὸς τῇ ὄψει, τῇ ἡλικίᾳ μέσος, εὔμορφος, λευκόχροος, σύνοφρυς, τῷ προσώπῳ αὐστηρός, τῇ δὲ γνώμῃ πραΰς, ἀληθινός, ὑπάρχων, τῇ ψυχῇ και τῇ γνώμῃ κυβερνῶν τὸν βίον ὡς ὁ κριὸς τὸν ἔριον. Ἔσται δὲ ὠφέλιμος εἰς πολλούς, πλούτου καὶ δόξης καὶ ἀξίας ἐπιτεύξεται· ὁ γὰρ γεννώμενος ἐν τῷ Κριῷ οὐλὸς ἔσται τὴν τρίχα, χαραποιὸ ς

3 *ζώδου* passim *εὐκηδής* 7 *τῶν* 8 *ὀφέλημος* *ἐπιτεύξη*

καὶ μεγαλόφρων, φιλόξενος, ἐλεήμων, φιλομαθὴς καὶ τὴν ψυχὴν αὐτοῦ θήσει, στρατιώτης, κρυφόπορνος, τῆς γονικῆς ὑποστάσεως λύπην δέξεται, ὑπεραφεθήσει τὴν ψυχὴν αὐτοῦ καὶ ἀχαριστηθήσεται, διὰ γυναικὸς λύπη ἐπέλθῃ αὐτῷ καὶ διὰ δίκης ζημίαν ὑποστῇ, κτηνῶν καὶ καρπῶν ζημία ἐπέλθῃ αὐτῷ, διὰ γυναικὸς χεῖρας λύπη ἐπέλθῃ αὐτῷ καὶ ἀπὸ κουρευομένου θλιβήσεται καὶ ἀλλοτρίαν γῆν γυρεύσει, τὸ μοναχικὸν ζητήσει ἐν τῷ θανάτῳ αὐτοῦ, θαλάσσης ἢ ποταμοῦ φόβον διαβάσει, ἀπὸ ἀλόγου [f. 144v] βλαβήσεται, ἀπὸ ὕψους πέσῃ, εἰς ὕπανδρον γυναῖκα λοιδωρηθήσεται, καὶ ἀπὸ κεφαλῆς θλιβήσεται, ἀσθενήσει καὶ οὐ κινδυνεύσει, διγαμίαν ζητήσει, προσέχεται εἰς τὰ ἔτη τὰ ιε′, εἰς τὰ κβ′, εἰς τὰ κη′, εἰς τὰ λε′ ἕως τὰ μ′. Ζήσει ἔτη ο′, ἐκ τῶν κοιλιακῶν τελευτήσεται, ἀπὸ ἐκβράσεως ἀσθενήσει καὶ πόνον διαβάσει κρυπτόν, ἐλαίας ἔχει ἐπὶ τῆς ὄψεως, ἐπὶ τοῦ στήθους καὶ ἐν τῷ κρυπτῷ.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Κριοῦ ἔσται ἐπίνοσος ἐν τοῖς πρώτοις ἔτεσιν, ἀναφάλαντος, τὰ χείλη ἀνεσταλμένα καὶ ὑπέρυθρα ἔχων καὶ αὔξῃ τὸν βίον, φρόνιμος, εὐμαθής, δριμύς, ἀποδημητικός, ἕως τριῶν ἐτῶν ἐπίνοσος καὶ ὑπὸ ζυγὸν ἀνθρώπων, γυναῖκα ἣν ἁρμόσεται ἐν πρώτοις ἀποβάληται καὶ ἄλλῃ συνοικήσει, ἔσται δὲ ὠφέλιμος ἕως τινὸς καιροῦ, αὐστηρός, μεταδοτικός. Σῦκα ξηρὰ μὴ ἐσθιέτω καὶ βόειον κρέα πολύ. Ἐτῶν ιζ′ ἀσθενήσει, ἐὰν ὑπερβῇ τὸν κλιμακτῆρα τοῦτον μακρόβιος ἔσται, ἀπὸ τετραπόδου κύλλωμα σχῇ καὶ πυρὸς καὶ σιδήρου πόνον, ἰδιότροπος, θυμώδης, ἐπὶ μικροῖς ὀργιζόμενος, εὐμετάβλητος, ἐρωτικός, ὑπὲρ φίλων θήσει τὴν κεφάλην αὐτοῦ καὶ ἀχαριστηθήσεται, πρὸς ὕπανδρον γυναῖκα ψόγον ἀκούει, πονέσει κεφαλὴν καὶ ὄμματα, ξενιτεύσει, κίνδυνον ὄψεται καὶ πόνον κρυπτὸν σχῇ, ἐπὶ γυναικὶ καὶ τέκνοις εὐφρανθήσεται μεταβήσεται ἐξ οἰκίας εἰς οἰκίαν καὶ ταφῆς ἀγαθῆς τύχῃ. Σημεῖον σχῇ ἐπὶ τῆς κεφαλῆς ἢ τοῦ προσώπου. Ὕστερον ταῖς ἀῤῥωστίαις δασυνόμενος κλιμακτῆρα σχῇ εἰς τὰ γ′ ἔτη ε′ ζ, θ′, ι′, ιε′, ιζ′, κζ′, λγ′, με′, ν′, τοὺς κλιμακτῆρας

1 μεγαλόφρονο(ς) 2 αὐτοῦ ubicumque 3 δέξηται 4-5 ὑποστεῖ 5 καρπὸν κουρεμένου θλιβῇ 7 post μοναχικὸν lacuna supplendum est σχῆμα 8-9 λάβῃ, videlic. βλάβῃ 10 κινδυνεύσῃ 12 ζήσῃ τὸ κοιλιακὸν 13 ἀσθενήσῃ 13 διαβάσῃ 14 ελέων ἐχ passim 16 ζῴδου 16 ss. cf. *Cat.* XI, 2, p. 115, 9 ss. 17 ἀναφαλανδέως ἀνασταλμένα 17-18 ὑπόρυθρα 20 ὁρμάσηται 22 βόεον 30 τοίχει 31 δασυνόμενος vix sanum

τούτους παρελθὼν ζήσει ἔτη ξϛ′. Ὅταν [f.145] ἀῤῥωστήσῃ, λαβέτω ἀπὸ κριοῦ κέρατος ἀπόξυσμα καὶ τρίχας ἀπὸ τοῦ μετώπου καὶ τῆς οὐρᾶς, καύσας ταῦτα καὶ μίξας σὺν ἐλαίῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει.

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Κριοῦ ἔσται τῇ ὄψει λευκόχροος, ἀναφάλαντος, τὰ χείλη ἀνεσταλμένα καὶ ὑπέρυθρα ἔχουσα, εὐπρεπής, αἰσθητική, αὔξῃ τὸν βίον, τραχεῖα, εὔγλωσσος, ἰσχύουσα πρὸς τοὺς ἄνδρας, εὐαπολόγητος, προσφιλὴς τῶν ἀλλοτρίων, αὐστηράζοντος τοῦ ἀνδρὸς αὐτῆς χηρεύσει καὶ τρισὶν ἀνδράσι συνοικήσει καὶ μετὰ ἀνδρὸς καταστατήσει διά τινα λόγια πικρὰ καὶ παρὰ ἀνθρώπου τινὸς κακοποιηθήσεται. πονέσει κεφαλήν, χεῖρας καὶ ἁρμοὺς καὶ χώραν ἱκανὴν γυρεύσει διά τινος ἄλλου ἐξέπαρσιν, εἰς ἀπολογίαν ἔσται καλὴ καὶ ἄνδριος. Σημεῖον σχῇ ἐπὶ τῆς κεφαλῆς ἢ τοῦ προσώπου, κλιμακτῆρας δὲ εἰς τὰ γ′ ἔτη καὶ ζ′, θ′, ι′, ιε′, κζ′, λ′, με′, ν′, τούτους διελθοῦσα ζήσει ἔτη ξϛ′, σίνωμα σχῇ ἀπὸ τετραπόδου καὶ σιδήρου. Ὅταν ἀσθενήσῃ, [λαβέτω ἀπὸ κριοῦ κέρατος ἀπόξυσμα καὶ τρίχας ἀπὸ τοῦ μετώπου καὶ τῆς οὐρᾶς, καύσασα ταῦτα] καὶ μίξασα θεῖον καὶ λίβανον καὶ κέδρου ἔλαιον.

Ζῳδίου β′ τοῦ Ταύρου.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Ταύρου ἐν ἡμέρᾳ ἀγαθῇ ἐγεννήθη, ἐτῶν β′ καὶ ἔτῶν ζ′ ἀσθενήσει. Ἐὰν διέλθῃ τὰ δ′ ἔτη, ἔσται μακρόβιος· ὁ γὰρ γεννηθεὶς ἐν τῷ Ταύρῳ τληπαθὴς ἔσται, ἐπειδὴ ὑπόζυγος ὡς ὁ ταῦρος ἕλκεται. Ἔσται δὲ τῇ θεωρίᾳ ξανθός, μεγαλοπρόσωπος, ἀναφάλαντος, τραχὺς τῇ ὄψει, μέσος τῇ ἡλικίᾳ, γυναικοφανὴς καὶ ἀγαπητικός, καλὸς τῇ θεωρίᾳ, τῇ δὲ καρδίᾳ ἀψιφρόνιμος καὶ λογικός, πόρνος, ὑπὸ πολλῶν γυναικῶν ἀγαπώμενος, ἀλλοτρίαν γῆν περιπατήσει καὶ εὐχὴν μητρὸς [f. 145v] κληρονομήσει, γυναῖκα α′ θάψῃ, ἄλλην δὲ κληρονομήσει, εἰς ὕπανδρον γυναῖκα λυπηθήσεται καὶ διὰ τέκνων λυπηθήσεται, ὑπὸ μεγάλων ἀνθρώπων ἀγαπηθήσεται καὶ ὠφελήσει τὴν οἰκίαν αὐτοῦ, ἀπὸ ἀντιφωνίας φεύγῃ, ἀπὸ ἰδίων καὶ γειτόνων λοιδωρηθήσεται, ἀπὸ Θεοῦ χάριν εὑρήσει, παρὰ κακῶν ἀνθρώπων εἰς δικαστήριον

1 ἀρρωστήσει 2 μετόπου 3 μήξας ubicumque σὺν ἐλαίῳ κεδρίνῳ cod. Scor.; cf. v. 19 5 ζῴδου cod. 6 ἀναφαλανδέος ἀνασταλμένα καὶ ὑπόρυθρα 16 σήνομα 16 17 λαβέτω —ταῦτα supplevi 22 ἀσθενήσι δὲ ἔλθῃ 23 τλιπαθ' 25 τραχῆ 27 ἀψοφρονημ 30 τείκνον 32 ἀντιφω' 33 εὑρίσει

ἔλθη,κτήνη καὶ καρπὸν ἀπολεῖται, ἐὰν πολεμήσῃ,εὐτυχήσει,εἰς δὲ τὸ γῆρας τὸ μοναχικὸν ζητῇ · ἐὰν μάθῃ γράμματα,μεγάλως προκόψει καὶ βασιλέων αὐλὴν πατήσει, ἀσθενήσει καὶ οὐ τελευτήσει, ἀσθενείας διαβάσει ἀπὸ ἐκβράσεως, πονέσει δὲ τῶν νεφρῶν, ἀπὸ ἀλόγου καὶ ἀπὸ ξίφους βλαβήσεται,ἀπὸ ὕψους πέσῃ, ἀπὸ οἰκίας εἰς οἰκίαν μετασταθῇ, ἀλγήσει δὲ χεῖρας καὶ πόδας. Σημεῖον ἔχει ἐν τῷ στήθει καὶ ἐν τῷ κρυπτῷ,κλιμακτῆρας ἔχει εἰς γ' ἔτη,εἰς τὰ ζ' καὶ εἰς τὰ ιδ' μέχρι ἐτῶν μ', ζήσει δὲ ἔτη οθ', ἐκ τῶν κοιλιακῶν ἀποθάνῃ · ἐν τῇ ἀ(σθε)νείᾳ αὐτοῦ μὴ ἐσθίετω, ἀπὸ γυναικὸς φάρμακον δέξεται, οὐδὲν ἀδικηθήσεται · διαβάσει δὲ καὶ ξένην ζημίαν, φυλάσσει δὲ αὐτὸν ὁ ἅγιος Γεώργιος.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Ταύρου πρὶν γενέσθαι αὐτὸν ἐτῶν γ' ἀσθενήσει,ἐὰν διέλθῃ τὰ γ' ἔτη καὶ ἀναπληρώσῃ ιζ', μακρόβιος ἔσται, φρόνιμος, ἔνδοξος, εὐόφθαλμος, ἐπίπονος, ἔντιμος, τῶν οἰκείων ἄρξει, ἔσται ὑπόζυγ`ν ἀνθρώπων,πολλὰ πράξει καὶ ὁ καθ' ἡμέραν βίος οὐκ ἐκλείψει αὐτόν,ἔσται ὀξύθυμος, δίκαιος,φίλεργος, εἰρηνικὰ πάντα ἀγαπῶν, εἰς <ἅγιον> Γεώργιον ἐπιτευκτικός, ἐτῶν κζ' εἰς κλιμακτῆρας ἐμπέσῃ, καὶ τοῦτον διελθὼν μακρόβιος ἔσται, ἐτῶν λ' εὐπράξει καὶ καλὰ αὐτοῦ πάντα, ἐὰν διέλθῃ τὰ νδ' ἔτη, εἰς λιπαρὸν γῆρας ἐπιδώσει ὢν [f. 146] εἰς πᾶσαν τέχνην εὐμαθής, τῇ ἡλικίᾳ μέσος, βίαιος, εἰς γυναῖκα λυπηθήσεται. Παραφυλασσέσθω τρέχειν, παλαίειν, ὕψος προσέχειν · ἀλλοτρίαν χώραν γυρεύσει, ὑπὲρ φίλων καὶ ἑταίρων θελήσει θεῖναι τὴν κεφαλὴν αὐτοῦ καὶ ἀχαριστηθήσεται,ἔσται γυναικοψυκτής, λάθρα ἐρωτικός, ἐλεήμων, μεριμνητικός, ἑαυτὸν πάντα διδάσκων καὶ διὰ κεφαλὴν θυμικὴν ἄκρην καὶ ζημίαν ὑπομένῃ · Σημεῖον σχῇ ἐπὶ τὸν τράχηλον ἢ τὴν ὄψιν ἢ τὸν βραχίονα, πονέσει κεφαλήν, κρόταφον, ὀφθαλμούς, κοιλίαν καὶ κλιμακτῆρας σχῇ εἰς τὰ γ' ἔτη.ϛ',ιζ', κα', κγ', κζ', λβ', με', νγ', ξγ'. Τούτους διελθὼν ζήσει ἔτη οε'. Φορήτω ἀφροσέλινον ἀειθαλές, θεῖον καὶ ἄσφαλτον. Ὅταν ἀῤῥωστῇ, λαβέτω ταύρου κέρατος ἀπόξυσμα καὶ τρίχας ἀπὸ τοῦ μετώπου καὶ τῆς οὐρᾶς · ταῦτα καύσας,μίξας θεῖον καὶ λίβανον σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει.

---

1 κτηνὰ ἀπολει... 2 γείρας 3 πατίσῃ 4 ἐβράσεως τὸν νεφρὸν 5 βλ(αβήσεται) 9 θάνῃ in rasura secunda manu μὶ εσθ' 10 δέξηται 11 φυλάσσει 12 ss. Cf. *Cat.* XI, 2, p. 116, 17 ss. 13 δὴ ἔλθῃ ἀναπληρώσει 15 ἄρξῃ πράξῃ 16 ἐκλήψει 17 ἅγιον supplevi 19 εὐπράξῃ 20 ἐπιδώσῃ 26 θυμηκη ... κρην restit. : θυμικὴν ἄκρην ὑπομήνῃ

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Ταύρου ἔσται καλή, εὐπρόσωπος · εὐόφθαλμος, σημεῖον σχῇ μὴ καταβλάπτον τὸ σῶμα αὐτῆς, ἕξει κλιμακτῆρα εἰς μῆνας γ' καὶ λυπήσει τοὺς ἰδίους, ἐνιαυτὸν καὶ μῆνας ϛ' ἀσθενήσει καὶ καθεύδουσα κράξει, τοὺς ὀδόντας ἐκ τῆς φεγγούσης Σελήνης βλαπτομένη, διὰ τοῦτο φορήτω ἀφροσέλινον ἀειθαλές, πευκέδανον, παιωνίαν, ἀμολίαν,ἀποσίστρον καὶ μηδὲν πτοείσθω. Ἔσται θεοσεβής, καθαρὰ τοῖς γονεῦσιν καὶ ὁ ἀνὴρ αὐτῆς δι' αὐτὴν εὐτυχήσει, παιδία σχῇ εὐάρεστα, πλουτήσουσιν καὶ καλῶς ἀκούσουσιν, συμφέρει δὲ αὐτὰ ἔξω θηλάζειν καὶ μητρὸς οὐ λαβεῖν γάλα [f. 146v],ἵνα μὴ βλάψῃ τοὺς γονεῖς. Φυλασσέσθω ἑαυτὴν ἀπὸ πυρὸς καὶ ζεστοῦ ὕδατος. Ἔσται ὀφθαλμόβολος, οἰκειωτική, τραχεῖα, τολμηρά, οἰκονομική, ἐλεημονητική, εὐμετάδοτος, σχῇ κιλμακτῆρας εἰς τὰ ε' ἔτη, ζ', ιη', κε', λη', με', νε', τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη οε'. Ὅταν ἀῤῥωστῇ, λάβῃ ταύρου κέρατος ἀπόξυσμα καὶ τρίχας ἀπὸ τοῦ μετώπου καὶ τῆς οὐρᾶς, ταῦτα καύσῃ καὶ μίξῃ θεῖον καὶ λίβανον σὺν ἐλαίῳ κεδρίνῳ, ἀλειφέσθω καὶ οὐ κινδυνεύσει· ἀπὸ οὐσίας πέσῃ καὶ πάλιν ἀνορθώσει, θανάτῳ τελευτήσει τῆς κοιλίας αὐτῆς ἀπὸ βιασμῶν.

Ζῳδίου γ' τῶν Διδύμων.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τῶν Διδύμων ἕως ἐτῶν θ' ἐπίνοσος ἔσται. Ἐὰν διαβάσῃ τὰ ιβ' ἔτη, μακρόβιος ἔσται. Ἔσται δὲ ἀνὴρ καλός, εὐειδής, μελίχρους, οὐλότριχος, οὐλοκέφαλος, καλοθεώρητος, στρογγυλοπρόσωπος, μικροφυής, μικρόφθαλμος, εὐχαρής,εἰς τὰ πάντα ἐνάρετος,παιγνιώδης,παρὰ πολλῶν γυναικῶν ἀγαπώμενος, ἔχων καὶ συνάντημα καλὸν καὶ ἐπὶ χειρῶν ἀγαθῶν. Ὁ ὑπαντήσας αὐτὸν ἐν ὁδῷ καλῶς πράξει, ἰδίους καὶ φίλους τιμήσει, τὸν γονικὸν οἶκον ἐκφύγῃ, βίον δὲ ἀνιστόρητον ἕξει. Ἔσται φιλογράμματος, μεγάλου πράγματος κυριεύσει, βασιλικὴν αὐλὴν περιπατήσει καὶ ἱκανὰ πράγματα καταπιστευθῇ. Ἔσται δὲ πολύμοχθος εἰς πτωχούς, τοὺς ἐχθροὺς αὐτοῦ ὑποτάξει διὰ τὴν ἀγάπην αὐτοῦ. Ἔσται δὲ ὀξὺς καὶ θυμώδης, τῇ δὲ ἰδίᾳ βουλῇ περιπατῶν, τὸ ἴδιον πεῖσμα πράττων,μὴ ἀνεχόμενος κελευθῆναι ὑπό

---

3 ἕξῃ 4 κράξῃ : βρύξει cod. Scorial. 6 ἀμολίαν ἀπόσιστρον] cf infra p. 188, 24. ἀπωσήστρου cod., Cf. Plut. *Mor.*, p. 1155 E : σίστρος ut planta. 7 πτωΐσθω 9 ἀκούσωσιν 15 ἀρρωστεῖ λάβει 18 κινδυνεύει 19 κοιδίας 20 τοῦ Διδύμου, ut infra 25 πεγνιότης 27 πράξῃ τιμήσῃ 28 ἀνιστέρητον ἕξῃ 29 κυριεύσῃ 30 περιπατήσῃ 31 ὑποτάξῃ 33 πίσμα

τινος, πατρικὴν οἰκίαν [f. 147] οὐ κληρονομήσει, ἀλλ' ἀπὸ κόπου κτήσεται βίον, γυναῖκα ἀγαπήσει μελιχροειδῆ καὶ ἑτέραν λάβῃ ξανθὴν καὶ θάψει αὐτὴν καὶ εἰς ἄλλην ἐμπέσῃ, διὰ τέκνων θλιβήσεται, ἀπὸ ὕδατος φόβον διαβάσει, ἀπὸ ὕψους πέσῃ, ἀπὸ τετραπόδων καὶ ἀπὸ ξίφους βλαβήσεται τὸν πόδα αὐτοῦ, νεφρὸν πονέσει, ἀπὸ ῥίγους ἀσθενήσει, κεφαλὴν καὶ ὀφθαλμοὺς πονέσει. Ταῦτα διελθὼν ζήσει ἔτη ιε', ἰδίῳ θανάτῳ τελευτήσει, ταφῆς ἀγαθῆς ἐπιτύχῃ. Σημεῖον ἔχῃ ἐν τῷ προσώπῳ καὶ ἐν τῷ στήθει καὶ ἐν τῷ κρυλιῷ αὐτοῦ καὶ ἐν τῷ κοιλιακῷ, ἀσθενήσει καὶ ἐκ τοῦ πλευροῦ τελευτήσει.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τῶν Διδύμων ἕως ε' ἐτῶν γενήσεται ἐπίνοσος. Ἔσται δὲ μετέωρος τῇ ἡλικίᾳ, εὔποδος, πλατυπρόσωπος, ὑπὸ γυναικῶν ἀγαπώμενος, κακοπαθήσει τοῖς ἐν νεότητι χρόνοις, πολλὰς χώρας γυρεύσει καὶ βασιλικὴν αὐλὴν πατήσει ἀνέγκλητος, ἐν ἀλλοτρίᾳ χώρᾳ τελευτήσει, χρήματα περιποιήσεται καὶ εἰς αὐτὰ ἀπώλειαν πάθῃ. Ἔσται εὔλογος, θυμώδης, ὀργιστής, εὐδιάλλακτος, ἀτυχοῦντας ἐλεήσει, τοὺς οἰκείους καὶ φίλους τιμήσει. Μὴ ἐσθιέτω βόειον κρέας. Φιλάγαθος, φιλοτράπεζος, πατρικῶν εὐπορήσει, ἐπιτευκτικός, χρημάτων ἀποβολὴ αὐτῷ γένηται. Ἔσται τραχύς, μὴ ἐντρεπόμενός τινα. Ὅσον ἂν προβαίνῃ τῇ ἡλικίᾳ, ἐπίδοσιν σχῇ τοῦ βίου. Ἔσται πολυπότης, ἐρωτικός, παρ' ἐχθροῦ τινος φάρμακον ὑπομένῃ καὶ ὑπ' εὐνοίας μηνυθήσεται αὐτῷ. Ἔσται φιλογέλως, ἀπὸ τῶν γονέων αὐτοῦ οὐδὲν κληρονομήσει, εἰ δὲ καὶ κληρονομήσει, ἀλλοτρίων βρῶμα γενήσεται. Αὐτὸς ἐξ ἰδίων κτήσεται βίον [f. 147ᵛ], ψόγον δὲ εἰς μοιχείαν ἀκούσει, γυναῖκα πρῶτος κατορύξει, ἐν ἀρχῇ δὲ πρὸς τοὺς ἰδίους ἀκαταστατήσει. Παραφυλασσέσθω τοῦ πιστεύειν τινάς. Σημεῖον ἕξει ἐπὶ τὴν ὠμοπλάτην ἢ χεῖρα, κλιμακτῆρα σχῇ εἰς τὰ γ' ἔτη, ε', ζ', ια', κα', λε', με', νε', ξε', τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη ϛζ'. Ὅταν ἀῤῥωστῇ, λαβέτω ἀγριαλέκτορος ἀκρόνυχα καὶ διδύμων γάλα, θεῖον καὶ λίβανον, μίξας σὺν ἐλαίῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει. Φορήτω δὲ εὐπατόριον πάντοτε,

---

1 οἰκίαν] Leg. οὐσίαν? cf. p. 186 v.3 3 θάψη ἐμπέση τέκνον 3-4 θλιβῆ 4 πέση 5 λάβη 7 ζήση 7-8 ἐπιτύχει 9 κυληακῶ ἀσθενήση 11 ss. cf. *Cat.* XI, 2, p. 117, 11 ss. 12 μετέορος εὔπουν cod. Scorial. 16 περιποιήσειται 19 πατρικόν 22 ὑπομήνη 23 φιλόγελος 24 ἀλλότριο 26 κατορύξη 28 τὸν ὀμωπλάτην ubicumqe χεῖραν 32 κινδυνεύει εὐπατώριον

ἱκανὰ ἐν τῇ νεότητι χειμασθήσεται, πολλὰ δὲ καὶ εὐφρανθήσεται, καὶ ὁ βίος αὐτοῦ οὐκ ἐκλείψει, θανάτου καταφρονήσει καὶ ἀπὸ ξίφους τελειωθήσεται ἐτῶν ϛζ'.

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τῶν Διδύμων ἔσται εὐειδής, ἱερακόφθαλμος, καλλίτεκνος, φρόνιμος, εἰς πάντα εὐμαθής, φιλογράμματος, γενομένη ἐτῶν δ' ἀσθενήσει. Ἐὰν παρέλθῃ ζ', ιβ', μακρόβιος ἔσται, ἐπὶ τὸ βέλτιον πράξει τὸν βίον αὐτῆς, αὐτάρκης, οὐ λείψει, οὐ περισσεύσει, γενήσεται ἐρυθρά, ἀστική, λάθρα ἐρωτική, ἀντίλογος, φίλανδρος. Ἐὰν ποιήσῃ τέκνα, ἕνα μόνον αὐτῇ καταλειφθήσεται, ἀλλοτρίων ἐπιθυμήτρια, ἀπὸ φαρμάκων πεῖραν λήψεται, ἰδίων καὶ ξένων καὶ ἀνδραπόδων κυριεύσει, τὸν ἄνδρα θάψει καὶ μετὰ ἄλλου συνοικήσει καὶ εἰς αὐτὸν λυπηθήσεται μετὰ φθόνον, φάγῃ τὸν βίον αὐτῆς, ὕστερον δὲ κυρίῳ τῷ Θεῷ εὐχὰς ἀποδώσει. Βραδεῖαν ὥραν μὴ προερχέσθω καὶ συνωθῇ ἀπὸ συναντήματος. Ἔσται ὀξύθυμος, μὴ ἀποστελλομένη τινά. Σημεῖον σχῇ εἰς τὸν αὐχένα ἢ τὸν [f. 148] πώγωνα ἢ ἐν τῇ ὠμοπλάτῃ αὐτῆς ἢ ἐν τῇ πλευρᾷ, ἢ ἐν τῷ γόνατι, ἢ εἰς τὸ ὑπογάστριον, κλιμακτῆρας σχῇ εἰς τὰ γ' ἔτη, ε', θ', ιη', κζ', λγ', λε', νδ'. Τοὺς κιλμακτῆρας τούτους διελθοῦσα ζήσει ἔτη πβ'. Ἐν καθρυπτίῳ μὴ θεωρήσῃ, ἐν παρασκευῇ μὴ ἐργάσηται, τὸν πλόκαμον ἐν κυριακῇ μὴ λύσῃ, καρκίνον καὶ μουρζούλην μὴ ἐσθιέτω, μηδὲ αἴγιον, μηδὲ πέρδικα. Πολλὰ δὲ λυπηθήσεται καὶ μετὰ ταῦτα χηρεύσει, πονέσει μασθοὺς δεινῶς, τίκτουσα κινδυνεύσει. Ἐν τῇ ἐκκλησίᾳ μὴ καταφλυαρήτω, εἰς ξένην χώραν ἀπέλθῃ, εἰς τὴν πατρικὴν οἰκίαν οὐ τελευτήσει, θανάτῳ τελειωθῇ ἐκ πλευρᾶς αὐτῆς χρόνων οὖσα πβ'.

Ζῳδίου δ' τοῦ Καρκίνου

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Καρκίνου ἐν ἡμέρᾳ καλῇ ἐγεννήθη, ὑπὸ τῶν ἰδίων ἀγαπώμενος, γενήσεται εὐθαλής, γενναῖος, πολύμοχθος, παλαιστρίτης, φιλοκύνηγος, ἐπίκρυπτος, βαρεῖαν χεῖρα ἔχων, εἰς κροῦσμα πάντα τὸν βίον αὐτοῦ ἐπισυνάγων καὶ ἀνέκλειπτος ἔσται, ἀπὸ κυνὸς δαχθήσεται, ἐν ποταμῷ κινδυνεύσει, θανάτου δὲ οὐ γεύσεται ἐν θαλάσσῃ, ναυαγήσει καὶ

---

2 ἐκλήψει 5 γερακόφθαλμος 7 πράξη 8 λήψει ἐρυθρη 9 ποιήσει 10 Leg. ἐπιθυμήτειρα? 13 φαγητὸν 19-20 καχρυπτίω Leg. κατόπτρῳ? Cf. Delatte, *La Catoptromancie grecque*, 1932, p. 152. 20 θεορήσει 21 λύσει 22 πέρδικος 23 μασθός ubique 24 ἐγκλησία χεῖραν 32 δααχθήσεται 33 θανάτῳ

ἀποβολὴν ποιήσει καὶ ἐνοχληθήσεται, ἀπὸ ζήλου καὶ πατρὸς πονηροῦ τὸ βλέμμα αὐτοῦ βλαβήσεται. Φορήτω δὲ φυλακτήριον ἁγίων ἀγγέλων ὀνομάτων καὶ οὐ κυριεύσει αὐτοῦ κακόν. Ἔσται εὔκοσμος. Προσεχέτω αὐτὸν ἐν ξενιτείᾳ, μὴ αἰχμάλωτος ἀπέλθῃ, ἐν τῷ οἴκῳ αὐτοῦ πολλὰ μοχθήσει καὶ οἱ γονεῖς αὐτοῦ ἀγαπήσουσιν αὐτόν, ἀδελφοὶ αὐτῷ συγγεννηθήσονται, ὕστερον καὶ πρὸ αὐτοῦ τελευτήσουσιν. Ὅπου ἐὰν ἀπέλθῃ [f. 148ᵛ], οὐκ ἀστοχήσει, χρημάτων δὲ πολλῶν γενήσεται κύριος. Ἔσται ἀφίκορος, πάντα εὐφραντικός, ἀπὸ ὄφεως δαχθήσεται καὶ ἀπὸ θηρίων κυκλωθήσεται, θανάτου δὲ οὐ γεύσεται, ἀπὸ δένδρου πέσῃ, πονέσει ὀμφαλὸν καὶ σπλῆνα καὶ <ἀπὸ> ξίφους κύλλωμα σχῇ. Ἔσται ἄοκνος, παράβολος, τολμηρός. Σημεῖον δὲ σχῇ ἐν τῇ ὠμοπλάτῃ ἢ εἰς τὸν βραχίονα, ἢ εἰς τὸ φυσικόν, ἢ ἐγγὺς τοῦ μασθοῦ, καὶ κλιμακτῆρας ἕξει εἰς τὰ β′ ἔτη, ε′, η′. Ἐὰν παρέλθῃ τὰ ιζ′, κδ′, κζ′, μακρόβιος ἔσται, πλεῖον δὲ οἱ κλιμακτῆρες εἰς τὰ λβ′, μ′, μδ′, νβ′. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη πε′. Ὅταν δὲ ἀσθενῇ, λαβέτω καρκίνου πόδα, κριθὴν ἀγρίαν, πύξου ἀποξύσματα, θεῖον καὶ λίβανον, μίξας σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει, καστόριον καπνιζέσθω. Οὕτως τελειωθῇ ἐκ πλευρᾶς αὐτοῦ χρόνων πε′.

Ἡ γεννηθεῖσα, ἐν καιρῷ ζῳδίου τοῦ Καρκίνου ἔσται εὐειδής, ῥοδίνη, τῇ ἡλικίᾳ μέσῃ, εὔθριξ, φρόνιμος, πολύμοχθος, εἰς πάντα εὐμαθής, ὁ βιὸς αὐτῆς ἀνέκλειπτος, μικρὸν ἐπικίνητος, φιλοτράπεζος, ἄνδρα ἐὰν λάβῃ ἐν αὐτῷ θλιβήσεται, ὀλιγότεκνος. Προσεχέτω ἑαυτῇ ἐν ξενιτείᾳ, μὴ αἰχμάλωτος ἀπέλθῃ. Μὴ ἀνεχομένη κελευθῆναι ὑπό τινος, ἀλλὰ τῷ ἰδίῳ πείσματι πράττουσα, μετὰ φθόνου φάγῃ τὸν βίον αὐτῆς, χρήματα αὐτῇ ὑπάρξουσιν, βράδιον μὴ προερχέσθω. Ἔσται εὔφωνος, εὐνοητική, μετὰ τοῦ ἀνδρὸς αὐτῆς παράπικρος, λοιδωρίαν ἕξει παρὰ τοῦ ἀνδρὸς αὐτῆς πρὸς ἀλλότριον, ἐκ τοῦ ἰδίου ἀνδρὸς ζηλωθήσεται ὡς ἐπαφρόδιτος [f. 149], πολλὰ βλέμματα εἰς ἑαυτὴν ἑλκύσει, τέκνα θηλυκὰ πλείονα ἕξει, συνάντημα σχῇ βραδεῖαν ὥραν μεσημβρίας ὁρῶν πνευμάτων ἐρχομένων πρὸς αὐτήν. Φορήτω δὲ φυλακτήριον Θεοῦ καὶ

3 κακῶν 5-6 ἀγαπώσωσιν 7 τελευτήσωσιν 8 ἀψήκορος 10 πέσῃ 11 ἀπὸ suppl. cf. 181, 23. σπλῆναν 11-12 παράβουλος 12 τῇ] τῷ 12 13 βραχείονα 13 ἕξη 15 πλῆον 16 ἀσθενεῖ 17 πόδαν κρίθην ἄγριον 18 κινδυνεύει καστώριν 20 ἔστω 22 ἀνέκληπτος ἐπίκνηπος 25 πίσματι 26 φάη βραδίον 28 ἕξη 29 ζηλευθήσεται 30 ἑλκύση Leg. ὁρῶσα? 31 ἕξη ἐρχομένην cf. Catal. cod. astr. gr. X, 239, 20-21.

ἁγίων ἀγγέλων ὀνόματα καὶ οὐδὲν κακὸν ἁρμόσει αὐτῇ. Κλιμακτῆρας δὲ ἕξει τὰ β′ ἔτη, ε′, ζ′, ιβ′, ιδ′, κε′, κη′ λ′, μβ′, νδ′. Τοὺς κλιμακτῆρας τούτους διελθοῦσα ζήσει ἔτη ογ′. Σημεῖον δὲ σχῇ ἐν τῇ ὠμοπλάτῃ ἢ μηρῷ, ἢ βραχίονι, ἢ μασθῷ. Πονέσει δὲ μασθὸν δεινῶς. Προσεχέτω αὐτὴν ἀπὸ μάχης γειτονίας καὶ καταπλοκῆς. Συκοφαντηθήσεται πολλὰ καὶ λοιδωρίας ἐπάρῃ. Ὅταν ἀσθενῇ, λαβέτω καρκίνου πόδας γ′ καὶ κριθὴν ἀγρίαν, πύξου ἀποξύσματα, θεῖον καὶ λίβανον σὺν ἐλαίῳ κεδρίνῳ, ἀλειφέσθω <καὶ οὐ κινδυνεύσει>, τελειωθήσεται ἐκ πλευρᾶς αὐτῆς χρόνων ογ′.

Ζῳδίου ε′ τοῦ Λέοντος.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου Λέοντος ἔσται εὐειδής, καλός, ἀναφάλαντος, ἔχων δύο ἀετοὺς ἐν τῇ κεφαλῇ αὐτοῦ, γενόμενος ἐτῶν ιη′ λυπήσει τοὺς γονεῖς αὐτοῦ. Ἔσται δὲ ἀνὴρ μηδὲν ἀποστελλόμενος, ἄοκνος, ἴδιον πεῖσμα ἔχων, μὴ πειθόμενος μηδὲ τῶν ἰδίων γονέων. Ἔσται δὲ ἀνὴρ λυπηρός, τὸ περιπάτημα βλαβερόν, τῇ φορεσίᾳ πέπανος· ἂν δὲ καὶ γράμματα μάθῃ, εἰς προκοπὴν ἔλθῃ, βασιλικὴν αὐλὴν πατήσει, ὑπὸ μεγιστάνων φίλος ἔσται, διὰ ἰδίων ἀδελφῶν θλιβήσεται, τὰ ἴδια δίδων καὶ μετὰ καλοῦ μὴ λαμβάνων, ὑπὲρ γονέων θλιβήσεται καὶ οὔτε παίζων οὔτε γελῶν εὐτυχήσει. Ἔσται δὲ ὀξὺς καὶ θυμώδης, ταχὺ διαλλαττόμενος ἔσται... ὑπὲρ ἀρχοντικῆς ἐξουσίας πολλὰ θλιβήσεται, ἀσθενείας διαβάσει ἀπὸ ἐκβράσεως καὶ λοιμικῆς, ἀπὸ ἀλόγου [f. 149ᵛ] καὶ ἀπὸ ξίφους βλαβήσεται, ἀπὸ ὕψους πέσῃ, ἐκ τῶν κοιλιακῶν ἀσθενήσει. Ἔσται δὲ ἀνὴρ δραστικός, βαρύθυμος, ἐλευθερόγλωσσος, παῤῥησίᾳ πιστικός, γυναῖκα λάβῃ καὶ θάψει αὐτὴν καὶ εἰς δευτέραν ἔλθῃ καὶ μετὰ γυναικὸς ἀκαταστατήσει καὶ κλιμακτῆρα σχῇ εἰς τὰ γ′ ἔτη, εἰς τὰ ζ′ καὶ εἰς τὰ κγ′. Ἐὰν διαβάσῃ αὐτά, ζήσει ἔτη πθ′. Σημεῖον ἔχῃ, ἐπὶ τοῦ προσώπου καὶ ἐπὶ τοῦ κρυπτοῦ καὶ ἐπὶ τοῦ στήθους, τελευτήσει δὲ ἐκ τοῦ πλευροῦ.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Λέοντος ἐτῶν γ′ ἀσθενήσει,

1 ἁρμώσῃ 2 ἕξη 3 τῇ] τῷ 4 βραχίονη δεινὸς 6 ἀσθενεῖ 8 καὶ οὐ κινδυνεύσει suppl. cf. 180, 18. 11 ἔστω 13-14 ἀποστελόμενος 14 πίσμα 17 πατίσῃ 18 ἰδίον δήδον 19 λαμβάνον θλιβὴ 20 ἐκτυχήσῃ 21 post ἔσται lacuna 22 εὐράσεως λιμικῆς 23 βλαβήσεται] λάβῃ cod. πέσῃ τὸ κοιλιακὸν ἀσθενίσῃ 23-24 ἐλεπτερόγλωσσος 25 παριστικὸς prima manu γυναῖκαν θάψῃ 26 ακαταταστήσῃ 27 διαβάσει

ἐὰν πληρώσῃ τὰ ζ′ ἢ τὰ ιβ′, μακρόβιος γενήσεται. Ἔσται γενναῖος, φρόνιμος, φιλοκύνηγος, τῷ προσώπῳ αὐστηρός, τῇ δὲ γνώμῃ πρα΄ς, ἀγέλαστος, βλαβερὸν τὸ περιπάτημα αὐτοῦ, βήματα μεγάλα ἔχων, τῇ ἡλικίᾳ τέλειος, εὔκοσμος · βασιλέως αὐλὴν πατήσει, γνωστὸς παρὰ πολλῶν, γυναῖκα ἐὰν λάβῃ, ἀποβάληται αὐτὴν ἢ κατορύξει, παῖδα σχῇ ἐκ τῶν σπλάγχνων αὐτοῦ, πονέσει ἧπαρ, κοιλίαν καὶ πόδας, τοῖς φίλοις αὐτοῦ ὢν γνήσιος, ἀπὸ ἐγγύης ζημίαν ὑπομένῃ καὶ θελήσει μετοικῆσαι ἐκ τοῦ τόπου αὐτοῦ, πάλιν δὲ ὠφελήσει τὴν οἰκίαν αὐτοῦ τὴν ἰδίαν. Ἔσται γυναικομανής, ἐρωτικός, εὐκίνητος, ὑπὲρ φίλων θήσει τὴν κεφαλὴν αὐτοῦ καὶ ἀχαριστηθήσεται, τὴν τύχην ἄνοσον ἔχων, ὑπάρχων, ἀμελητής. Φυλασσέσθω ἀπὸ δένδρου, κυνηγίου, ξίφους καὶ μάχης, ἐλάφιον κρέας μὴ ἐσθιέτω, κλιμακτῆρα σχῇ εἰς γ′ ἔτη, ε′, ζ′, θ′, ιζ′, κζ′, λγ′, με′, νε′, τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη οθ′. Σημεῖον σχῇ ἐπὶ τῶν ψυῶν ἢ χειρός, ἢ ὄψεως, ἢ στήθους. Ὅταν ἀῤῥωστῇ, λαβέτω λέοντος ἀκρόνυχα ἢ ζύμην [f. 150] *κριθίνην, θεῖον καὶ λίβανον, μίξας σὺν ἐλαίῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει.*

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Λέοντος ἔσται ἐλευθέρα, εὔθριξ, πολύμοχθος, πολυκίνδυνος, εὔτακτος, οὔτε παίζῃ, οὔτε γελάσει ἐκ ψυχῆς, ἀλλ᾽ εὐθὺς λοιδωρηθήσεται, εἰς ἄνδρα λυπηθήσεται καὶ ἐξ ἰδίων παρανόμων κατηγορηθήσεται, τὰ παιδία αὐτῆς οὐκ ἐξ ἑνὸς μόνου ἀνδρός. Φορήτω δὲ φυλακτήριον ἔχων Θεοῦ ὄνομα, καὶ οὐδὲν κακὸν αὐτῇ ἔσται οὐδὲ τῷ ἀνδρὶ αὐτῆς. Ἐὰν γένηται μ′ ἐτῶν, ἐπὶ τῷ βελτίονι ἕξει · ὑποτακτική, ἐξ ἰδίων πόνων κτήσεται βίον καὶ προβαίνουσα τῇ ἡλικίᾳ ἔσται λυπηρά· κλιμακτῆρα σχῇ εἰς τὰ β′ ἔτη, ε′, ζ′, θ′, ιζ′, κζ′, λε′, με′, νγ′, ξς′. Τούτους τοὺς κλιμακτῆρας διελθοῦσα ζήσει ἔτη πδ′. Σημεῖον σχῇ εἰς τὴν πλευρὰν ἢ ψύαν ἢ ὄψιν ἢ μάλας ἢ χεῖρας. Ὅταν ἀῤῥωστῇ, λαβέτω λέοντος ἀκρόνυχα καὶ ζύμην κριθίνην, θεῖον καὶ λίβανον μετὰ ἐλαίου, ἀλειφέσθω καὶ οὐ κινδυνεύσει.

Ζῳδίου ς′ τῆς Παρθένου.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τῆς Παρθένου ἐτῶν γ′ ἀσθενήσει, ἔσται ἀῤῥωστικός, ἀτυχοῦντας ἐλεήσει, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἐλεηθήσεται, μεταδοτικός, καθαρός. Καρκίνους θαλασσίους μὴ ἐσθιέτω, ἐνύπνια θεωρῶν καὶ μηδενὶ ἐξηγείσθω. Ἔσται καλὸς τῇ ἡλικίᾳ, ἰδίῳ θανάτῳ τελευτήσει, ὑπάρξει, ἄλλοις συνήγορος, φιλάγαθος, στασιαστής, ἀντίλογος, παρενοχλήσει αὐτὸν ζηλότατον πνεῦμα, πονέσει ἁρμούς, μᾶλλον δὲ ζῶσιν, ἰσχία καὶ μηρούς · εὔθριξ, φρόνιμος, προβαίνων τῇ ἡλικίᾳ, εὐπορήσει καὶ οὐδὲν αὐτῷ ἔσται, εἰς ἄλλην χώραν ἀπέλθῃ καὶ τίποτε πλανηθήσεται. Ἔσται [f.150ᵛ] *ὑπὸ ζυγὸν ἀνθρώπων καὶ ἱκανὰ πράγματα πιστευθήσεται, φιλόφιλος, ὀξύθυμος, ἀπραγήσει δὲ τοῖς ἐν νεότητι χρόνοις καὶ ἀπὸ τετραπόδου κύλλωμα σχῇ καὶ πυρὸς καὶ σιδήρου, γυναικὶ παρθένῳ συνοικήσει, ἐπὶ παιδίοις χαρήσεται καὶ πάλιν λυπηθήσεται, τῇ ἡλικίᾳ προβαίνων, ἐπίδοσιν ἕξει τοῦ βίου, κλιμακτῆρα σχῇ εἰς τὰ γ′ ἔτη, ε′, ζ′, ιζ′, κ′, κη′, λε′, με′. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήτει ἔτη πζ′. Σημεῖον σχῇ ἐπὶ τὰς ὠμοπολάτας. Ὅταν ἀῤῥωστῇ, λαβέτω κόκκους κριθῆς ἀγρίας καὶ δάφνης κόκκους καὶ παρθενίου βοτάνης χυλόν, θεῖον καὶ λίβανον, μίξας σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω καὶ οὐ κυνδυνεύσει. Φορήτω σωματοφύλακα ὀνόματα ἀγγέλων, ἀφροσέλινον, πευκέδανον, παιωνίαν καὶ μὴ πτοείσθω.*

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τῆς Παρθένου ἔσται τῷ κάλλει ῥοδίνη, εὔσχημος ταῖς θριξίν, εὔκνημος. Ἐὰν διέλθῃ τὰ γ′ ἔτη καὶ ἀναπληρώσῃ ζ′, μακρόβιος γενήσεται, ὑπάρξει τραχεῖα, ποριστική, εὐμετάδοτος, καθαρά, ὅταν τις αὐτὴν ἴδῃ, ἀγαπήσει αὐτήν. Ἔσται προσφιλὴς τῶν ἀλλοτρίων, πικρὰ δὲ πρὸς τοὺς ἰδίους, εὐσύμφωνος, εὐσυνάλλακτος, παράπικρος, ὀξύθυμος · γυναικείῳ νοσήματι περιπέσῃ, τίκτουσα κίνδυνον σχῇ, πνεύματα αὐτὴν λυπήσουσιν, ἀπὸ ὑστέρας πολλὰ χειμασθήσεται, ἐτῶν κζ′ ἀσκόπιος, ἀσθενήσει λβ′, εἰς ἄλλην χώραν ἀπέλθῃ καὶ πλανηθεῖσα ὑποστρέψει εἰς τὴν ἰδίαν, ἐν τῇ νεότητι αὐτῆς ἔσται λυπηρὰ καὶ ὁ βίος αὐτῇ οὐ μὴ διαλείψῃ, πρὸ ιβ′ ἐτῶν ἀνδρὶ συνοικήσει καὶ ἀποβάληται αὐτόν. Ἐὰν δὲ…ιβ′ [f.151] *τέκνα ἕξει ἀῤῥενικὰ καὶ θηλυκὰ καὶ εἰς αὐτὰ λυπηθήσεται. Ἔσται μεριμνητική, φίλανδρος, φιλόδοξος, δικαία, οἰκονομική, ἀνδροψέκτρια · ἕως ἐτῶν κγ′ βίον λεπτὸν σχῇ, ὕστερον προβήσεται τῇ τύχῃ ὑπὸ θεοῦ χρηματιζομένη, ἕξει δὲ νόσον καὶ πόνον κρυπτὸν περὶ τὰ ἀναγκαῖα μέλη τοῦ σώματος, κλιμακτῆ-*

---

1 *πληρώσει* 3 *βλαβερὸς* 6 *κατορύξῃ* *σπλάχνων* 8 *ὑπομήνῃ* 10 *θήσῃ* 13 *κρέα* 15 *ψιῶν* 16 *ἀκρόνυχον* 17-18 *κυνδυνεύει* 21 *γελάσῃ* 25 *ἕξῃ* 29 30 *ἀρρωστεῖ* 31 *κινδυνεύει* *ἐλεήσῃ*

---

2 *ἐξηγήσθω* 3 *ὑπάρξῃ* 4 Leg. *ζηλότυπον?* 5 *ἁρμοὺς* *σχία* 7-8 Leg. *ὑπόζυγον?* 12 *ἐπίδωσιν ἕξῃ* 14 *τους* 15 *κόγκους* bis *κινδυνεύει* 18 *πεονίαν* 21 *δὴ ἔλθῃ* 22 *ἀνα πληρώσει* 22 *ὑπάρξῃ* 23 *ὅς ἂν* 26 *περιπέσῃ* *λυπήσωσιν* 28 *ὑποστρέψῃ* 30 *πρὼ* 31 post *δὲ* lacuna *ἕξῃ*

ρα σχῇ εἰς τὰ γ' ἔτη, ε', θ', ιζ', λδ', μβ'. Τοὺς κλιμακτῆρας τούτους διελθοῦσα ζήσει ἔτη πζ'. Σημεῖον σχῇ ἐπὶ τοῦ προσώπου ἢ τῆς κοιλίας. Ὅταν ἀῤῥωστῇ, λαβέτω ἀπόξυσμα δάφνης, θεῖον καὶ λίβανον, μίξας σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω καὶ φορήτω σωματοφύλακα Θεοῦ ὄνομα καὶ μηδὲν πτοείσθω.

Ζῳδίου ζ' τοῦ Ζυγοῦ.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Ζυγοῦ ἐν ἡμέρᾳ ἀγαθῇ ἐγεννήθη, ἔσται εὐόφθαλμος, ἀναφάλαντος, πλατυμέτωπος, λευκόχροος, ὑπόχλωρος, ἔχων τοὺς ὀφθαλμοὺς αἱματώδεις, εὐπρόσωπος, ξανθόθριξ, μελανοκόρυφος, δασυτριχής, τῇ ἡλικίᾳ μέσος, γυναικομανής, ἀγαπητικός, ὑπὸ γυναικῶν ἀγαπώμενος, εἰς ἔτη η' ἀσθενήσει καὶ εἰς τὰ κ' ἔτη εἰς κίνδυνον ἔλθῃ ἕως ἐτῶν λ'· πολύμοχθος ὢν ἐν τῇ νεότητι αὐτοῦ καὶ ὁ βίος αὐτοῦ οὐκ ἐκλείψει μητρὸς εὐχὴν κληρονομήσει καὶ πολλῶν γνώριμος ἔσται, ὑπὲρ φίλων καὶ ἰδίων τὴν ψυχὴν θήσει καὶ ἀχαριστηθήσεται· εἰς ἀντιφώνησιν ἐὰν ἔλθῃ, ζημιωθήσεται. Ἔσται ἐλεήμων, θεοσεβὴς καὶ φιλάνθρωπος, πολύγνωμος καὶ πολύτροπος, πολλοὶ δὲ φθονήσουσιν αὐτόν, ἀλλὰ ὑποτάξει αὐτούς, γυναῖκα ἣν ἔχῃ ἀγαπῆσαι οὐ λάβῃ αὐτήν, ἄλλῃ δὲ συνοικήσει καὶ θάψει αὐτήν, διὰ τέκνου λυπηθήσεται. Ἔσται φιλόοινος, πολυδάπανος, ἀκαίρως ἐξοδιάζων, ἀπὸ μοναστρίας ψόγον ἀκούσει [f. 151v], *ἀπὸ ὑπάνδρου γυναικὸς ἀγαπηθήσεται, ἀσθενήσει, ἀλλὰ οὐ κινδυνεύσει, ἀπὸ λοιμικῆς καὶ ἐκβράσεως ἀσθενήσει, πόδας καὶ νεφρὰ πονέσει, ἀπὸ ὕδατος φόβον ὑποστῇ, ἀπὸ ὕψους πέσῃ καὶ πόνον κρυπτὸν διαβάσει· κλιμακτῆρας ἔχῃ ἐτῶν γ' καὶ ἐτῶν ιγ' καὶ ιη' καὶ κβ'. Σημεῖον ἔχῃ ἐπὶ τοῦ ὤμου καὶ ἐπὶ τοῦ στήθους καὶ ἐπὶ τοῦ κρυπτοῦ, ζήσει ἔτη ογ', ἀπὸ δὲ τοῦ κοιλιακοῦ τελευτήσει.*

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Ζυγοῦ ἐνιαυτοῦ καὶ μηνῶν ς' ἀσθενήσει, ἐὰν δὲ παρέλθῃ τὸν κλιμακτῆρα τοῦτον, μακρόβιος ἔσται καὶ ὠφελήσει τὴν οἰκίαν αὐτοῦ, φρόνιμος, εὔπορος, ἐπιτευκτικός, χρήματα αὐτῷ ὑπάρξουσιν, ἐκ δικαίων γυναῖκα λάβῃ καὶ πρῶτον αὐτὴν ἀποβάληται, πολλὴν χώραν γυρεύσει, ἔπειτα ἐν ἑνὶ τόπῳ κατοικήσει καὶ ἐν αὐτῷ τόπῳ εἰς μεγάλην ἀνάγκην ἐμπέσῃ, οὐδὲν ἄδικον αὐτῷ ἁρμόσει, ἐπίκτημος, εὐειδής, πλατυπρόσωπος, αἱ τρίχες αὐτοῦ ὑποπυρίζουσαι, τῇ ἡλικίᾳ καλός, εὐφυής, φίλεργος, μεταδοτικὸς φίλοις, οἰκονομικός, ἀληθὴς πρὸς τοὺς φίλους αὐτοῦ, εὐομίλητος. Ὅταν εὔχηται τῷ Θεῷ, μὴ καταφλυαρήτω, μυστηρίων Θεοῦ μεθέξει, ἢ τόπου, ἢ πόλεως, ἢ ἐκκλησίας ἡγήσεται μείζονα ἔχων ἐξουσίαν, τὴν δὲ τύχην ἄνισον· καὶ γὰρ ζυγὸς τοιοῦτός ἐστιν, ἀπὸ ὕψους πέσηται, νόσημα σχῇ, πόδα καὶ ἔντερα πονέσει, νεώτερος ὢν ἀλγήσει ὀμφαλῶν, ψύας καὶ ὤμων, ὑπὲρ φίλου θήσει τὴν κεφαλὴν αὐτοῦ καὶ ἀχαριστηθήσεται. Ἔσται ὀλιγόψυχος, ψόγον ἀκούσει εἰς γυναῖκα, λυπήσει αὐτὸν πῦρ καὶ ζεστὸν ὕδωρ, ἀπὸ κυνὸς δαχθήσεται καὶ ἀπὸ τετραπόδου καὶ ξίφους κύλλωμα ἕξει, συντόμῳ δὲ θανάτῳ ἀποθάνῃ. Σημεῖον σχῇ [f.152] *ἐπὶ τῶν ἰσχίων ἢ αἰδοίων, ἢ γαστρός, ἢ ὄψεως. κλιμακτῆρα σχῇ εἰς τὰ γ' ἔτη, ε', ζ', ιζ', κα', λε', μβ', ξγ'. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη... Ὅταν ἀῤῥωστῇ, λαβέτω ζυγοῦ καὶ ζυγίου ἀποξύσματα καὶ λιβάνου ἄῤῥενος μετὰ παιωνίας <καὶ> θεῖον, μίξας σὺν ἐλαίῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει.*

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Ζυγοῦ ἔσται καλή, εὔσημος, εὔχειλος, πρὶν γ' ἐτῶν ἀσθενήσει, εὐπρόσωπος, ῥοδίνη, εὐόφθαλμος, σύνοφρυς, ἐνιαυτῶν ς' κίνδυνον σχῇ. Παραφυλασσέσθω ἀπὸ ἐπιβουλιῶν, ταραχῶν, πυρὸς καὶ ζεστοῦ ὕδατος καὶ ἀπὸ καταδρομῆς τετραπόδων· ἀπὸ κυνὸς δαχθήσεται, τίκτουσα κινδυνεύσει, πνεῦμα αὐτὴν λυπήσει, ἐτῶν γ' ἀσθενήσει καὶ παύσονται αἱ ἀσθένειαι αὐτῆς, εὐτυχήσει δὲ διὰ τῶν ἰδίων ἔργων, γνῶσιν σχῇ παρὰ μείζοσιν προσώποις, ἀνθρώποις καὶ Θεῷ χάριτας ἀποδώσει, ἐπ' ἄνδρα λυπηθήσεται. Ἔσται θεοσεβὴς καὶ τὸν βίον ἀνώμαλος καὶ τὸν ζυγὸν ἄνισον σχῇ, ἔσται δὲ πολύτεκνος, ἐν δόξῃ μεγάλῃ πρὸς τὸ γῆρας, οἰκονομική, λοιδωρίαν ἀκούσει, θανάτῳ δὲ σεμνῷ τελευτήσει, κλιμακτῆρα σχῇ εἰς τὰ β' ἔτη ε', ζ', θ', ιζ' λε', με', νγ'. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη οβ'. Ὅταν ἀῤῥωστῇ, λαβέτω ἀπὸ ζυγοῦ καὶ ζυγίου ἀποξύσματα μετὰ λιβάνου ἀῤῥενικοῦ καὶ παιωνίας καὶ θεῖον καὶ λίβανον, μίξας σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει. Σημεῖον σχῇ ἐν τῷ προσώπῳ ἢ <ἐπὶ> τῶν ἀδήλων τόπων τοῦ σώματος.

8-9 **λευκόχρονος ὑπόχλορος** 10 **μελανδοκόρυφος δασυφριδής** 10-11 **γυναικοφανής** cf. pl.182, 10. 13 **ἐκλήψη** 14 **κληρονομήση** 17 **πολλοίγνομος** 18 **ὑποτάξη** 19 **ἄλλην θάψη** 20 **ἄκερος** 21 **ἀκούση** 23 **λιμικῆς βράχεως πονέση** 24 **πέση** 31 **γυναίκαν** 34 **ἁρμώση**

4 **μεθέξη** 5 **μείζων** 7 **πόδαν** 8 **θήση** 9 **ἀκούση γυναικαν** 10 **δαχθῆ** 11 **ἕξη συντώμο** 12 **σχηῶν ἐδύων** 14 post **ἔτη** lacuna 18 **εὔχιλος** 21 **κινδυνεύση** 24 **ἀποδώση** 27 **ἀκούση** 32 **κινδυνεύει**

Ζῳδίου η΄ τοῦ Σκορπίου.

Ὁ γεννηθεὶς ἐκ καιρῷ ζῳδίου τοῦ Σκορπίου ἐτῶν γ΄ ἀσθενήσει, ἐτῶν ιη΄ ταράξεται πατρικὴν οὐσίαν εἴτε διὰ δεσποτείαν,εἴτε δι' ἀσθένειαν φρονήματι ἢ χρήματι, ἢ ἀναγκαίῳ τινί. Ἔσται δὲ μηδένα [f.152v] *ὑποστελλόμενος, εὐλαβούμενος. Ἐτῶν κγ΄ εἰς μέγαν κίνδυνον περιπέσῃ ἁπλῇ τῇ ψυχῇ, λαλῶν καλῶς, ἐὰν δὲ ἔλθῃ ἔτη κε΄ μεγάλου πράγματος εὐπορήσει, τοὺς ἐχθροὺς αὐτοῦ ἀμυνεῖται καὶ τοὺς ἀντιδίκους νικήσει καὶ ὑπὸ μεγάλων ἀνδρῶν τιμηθήσεται. Ἔσται ὀξύθυμος, πολύτεκνος, ἰδίῳ θανάτῳ τελευτήσει. Τρίγλας καὶ πράσα μὴ ἐσθιέτω, θορυβήσει αὐτὸν πῦρ καὶ ζεστὸν ὕδωρ, ἐπιλεχθήσεται παρὰ ἀμείνονος ἀνθρώπου. Ἔσται ὀξύς, ἐλεύθερος, τοῖς πολλοῖς συνερχόμενος, ἀσυνάλλακτος. Φυλασσέσθω ἀπὸ σκορπίου μὴ δαχθῆναι, εἰ δὲ καὶ δαχθῇ ὀπτησάτω σκορπίον καὶ τῷ δάγματι ἐπιθέτω καὶ οὐ βλαβήσεται, μάλιστα τοῖς ἐν νεότητι χρόνοις· ἐτῶν ιη΄ ἀτυχήσει καὶ διὰ τὰ παιδία αὐτοῦ λυπηθήσεται; κλιμακτῆρα σχῇ εἰς τὰ γ΄ ἔτη, ε΄, ζ΄, ιζ΄, κα΄, λε΄, νγ΄, ξς΄. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη οθ΄. Σημεῖον σχῇ ἐπὶ τῶν ὤμων ἢ τραχήλου ἢ κοιλίας. Ὅταν ἀῤῥωστῇ, λαβέτω σκορπίον, ἐλαίας κόκκους καὶ φύλλα δάφνης, θεῖον καὶ λίβανον, μίξας ἀλειφέσθω. Αὐλὴν βασιλικὴν πατήσει καὶ πολλοῖς γνωστὸς γενήσεται, πονέσει κοιλίαν καὶ ὤμους.*

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Σκορπίου ἔσται εὐόφθαλμος, τραχεῖα, ἐνιαυτοῦ καὶ μηνῶν ς΄ ἀσθενήσει, τολμηρά, οἰκονομική, λαλοῦσα καλῶς, θυμώδης, ἰδιόπιστος, συνοικήσει ἀνδρὶ εὐγενεῖ, παιδία σχῇ ἀῤῥενικὰ καὶ θηλυκά, ἐτῶν κζ΄ γενομένη γυναικείῳ νοσήματι περιπέσῃ, ἐὰν λάβῃ φυλακτήριον, γίνηται ὑγιής, θορυβήσει αὐτὴν πῦρ καὶ ζεστὸν ὕδωρ, βίον σχῇ μετὰ ἱδρῶτος καὶ πόνου, αἰσχυντέρα δέ ἐστιν [f. 153] *προβαίνουσα, τοῖς ἐν νεότητι χρόνοις αὔξησιν τοῦ βίου ἕξει. Ἔσται δὲ εὐμετάδοτος καὶ οἰκείας ἐξουσιάσει καὶ τὰ πατρικὰ χαραποιήσει, ἀδελφῶν τῶν ἐπιγενομένων αὐτῇ ὕστερον προτελευτήσει, κλιμακτῆρα σχῇ εἰς γ΄ ἔτη, ς΄, ζ΄, θ΄, ιζ΄ κα΄,κε΄, λε΄,νε΄, ξς΄. Τοὺς κλιμακτῆρας τούτους διελθοῦσα ζήσει ἔτη οθ΄. Σημεῖον ἕξει ἐπὶ τῶν ὤμων ἢ ἐν τοῖς ἀφανέσι τόποις τοῦ σώματος. Ἔσται πολύμοχθος, πονέσει τοὺς*

2 Cf. supra p. 178 v. 1. 3 **ταράξηται** 4 **φ...ματι** 5 **περιπέσῃ** 6 **μέγα** 6-7 **ἀμύνεται** 9 *τρίγλας*] cf. Diog. Laert. VIII, 1, p. 19 et 33. **θωρυβήσει** 20 **πονέσῃ** 3 **ἰδιόπισμος συνοικήσῃ**. Cf. infra p. 188, 29. 24 **γεναμένη** 25 **περιπέσῃ** 26 **θωροβήσῃ** 28 **ἕξῃ** 32 **διελθὼν** **ἕξῃ** 33 **ἀφανέσῃ** **πονέσῃ**

ὤμους, τὰς χεῖρας, τὰ γόνατα. Ὅταν ἀῤῥωστῇ, λαβέτω σκορπίον καὶ ἐλαίας <κόκκους> καθὼς καὶ ἀνωτέρω ἐγράψαμεν ἐν τῷ ἄῤῥενι, καὶ μίξας ἀλειφέσθω.

Ζῳδίου θ΄ τοῦ Τοξότου.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Τοξότου ἔσται εὐειδής, εὐόφθαλμος. Οὗτος ζημιώσει τοὺς ἰδίους ἐν τῇ ὑπάρξει αὐτῶν διὰ τίποτε πράγμα ἀναγκαῖον εἴτε δι' ἀῤῥωστίαν, ἢ δεσποτείαν, ἢ γυναῖκα, μάλιστα μητέρα πολλὰ ˙λυπήσει καὶ ἀδικήσει· ἔδει γὰρ αὐτὸν ἔξω τραφῆναι ἕως ἡμερῶν μη΄, καὶ μητρὸς γάλα μὴ ἥψατο καὶ οὐκ ἂν αὐτὴν ἐλύπει· μετὰ ταῦτα δὲ ὠφελήσει τοὺς γονεῖς καὶ τοὺς ἰδίους. Ἔσται ὀξύς, θυμώδης, εὐμετάτρεπτος, φρόνιμος, φιλοπότης, μὴ ἐντραπόμενός τινα, εὐμαθής, κατὰ πάντα δριμύς, εὐαπολόγητος, ψόγον ἀκούσει πρὸς ὕπανδρον γυναῖκα,φαρμάκων ἐπῳδαῖς οὐκ ἅψονται αὐτοῦ, χρημάτων ἱκανῶν γενήσεται κύριος καὶ πολλὰ ζημιωθήσεται. Φυλασσέσθω ἀπὸ μάχης καὶ ἀντιλογίας, ἵνα μὴ εἰς κίνδυνον περιπέσῃ ἀπὸ μείζονος ἀνθρώπου, τοὺς ἐχθροὺς ἀμυνεῖται καὶ τοὺς ἀντιδίκους νικήσει καὶ ὑπὸ μεγάλων προσώπων τιμηθήσεται· οἱ πλείονες ἐν τῷ Τοξότῃ βιαίῳ θανάτῳ περιπίπτουσιν· καὶ ἀπὸ ὕψους πέσηται, πονέσει κοιλίαν καὶ πόδα [f. 153v] *ἐκμετάβλητον, εἰς γυναῖκα λυπηθήσεται. Ἔσται σοφός, ἀγαπώμενος ὑπὸ τῶν θεωρούντων ἀνθρώπων, τὴν μὲν τύχην ἀνώμαλον σχῇ καὶ ἐξ ἰδίας προνοίας κτήσεται βίον, ἀδελφοὺς ἐξουσιάσει καὶ διαστήσει, αὐτὸς δὲ τύχην ἀγαθὴν ἕξει, πολλὴν χώραν γυρεύσει,κλιμακτῆρα σχῇ εἰς τὰ γ΄ ἔτη, ς΄,θ΄,ιζ΄,κζ΄, λε΄, μ΄, νγ΄. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη πβ΄, πονέσει μηροὺς καὶ πόδας. Σημεῖον σχῇ ἐπὶ τῶν ὤμων ἢ τῶν μηρῶν. Ὅταν ἀῤῥωστῇ, λαβέτω ἀπὸ τοῦ τοξαρίου ἀπόξυσμα μετὰ ἐλαίου κεδρίνου, θεῖον καὶ λίβανον, ἀλειφέσθω καὶ οὐ κινδυνεύσει.*

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Τοξότου ἔσται κατάρινος, ἔξοδοι αὐτῆς ἔσονται... ἑνὸς ἐνιαυτοῦ καὶ μηνῶν ς΄ ἀσθενήσει, ἐν μικρῷ τοὺς γονεῖς αὐτῆς λυπήσει, μάλιστα λυπήσει μητέρα· ἔδει γὰρ αὐτὴν ἔξω τραφῆναι, ἵνα μητρὸς γάλα μὴ λάβῃ καὶ μητέρα

6 **ζημιόσι** **ὑπάρξῃ** 7-8 **γυναίκαν** 8 **ἔδῃ** 10 **ἐλύπῃ** 13 **ἀκούσῃ** 14 **ἐπαῦδες** 17 **ἀμύνεται** 19 **πέσηται** **πονέσῃ** 20 **ἐκ μετάβλυτον** 23 **ἐξουσιάσῃ** **ἕξῃ** 27 post **μηρῶν** lacuna 28 **κινδυνεύει** 30 Post **ἔσονται** deest verbum **ἑνὸς**] **ὃν** 31 **αὐτοῦ** 32 **ἔλαβεν**

οὐ λυπῇ · ἀδελφοὺς ἐπιγενομένους ὕστερον οὐκ ἐπιθρέψει · ἔσται πτώματι τοῦ σώματος καὶ προβαίνουσα τῇ ἡλικίᾳ σκώμματα σχῇ · ἔσται δὲ οἰκονομική, φιλοπάτρια, θυμώδης, ἀντίλογος, εὔλογος,φίλανδρος · ἐὰν δὲ πρὸ δώδεκα ἐτῶν λάβῃ ἄνδρα, ὠφελεθήσεται τῷ σώματι καὶ ἀπὸ παίδων πολλῶν ῥυσθήσεται, ὕστερον δὲ ἀνδρῶν ψόγους ἀκούσει καὶ λοιδωρίαν καὶ λυπηθήσεται, ἄλλου ἁρμοστὴ ἔσται, καὶ ἄλλου γυνὴ γενήσεται, εἰς ἴδιον ἄνδρα λυπηθήσεται, πονέσει γόνατα καὶ τοὺς πόδας, κλιμακτῆρα σχῇ εἰς τὰ γ' ἔτη,ς',ζ,θ',ιζ', κζ',λε',με'. Τοὺς κλιμακτῆρας τούτους διελθοῦσα ζήσει ἔτη πβ'. Ὅταν ἀῤῥωστῇ, λαβέτω τοξαρίου ἀπόξυσμα καὶ κρίνον καὶ θεῖον καὶ λίβανον [f. 154], μίξας σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω καὶ οὐ κινδυνεύσει. Σημεῖον σχῇ ἐπὶ τῶν ὤμων ἢ τῶν μηρῶν.

Ζῳδίου ι' τοῦ Αἰγοκέρωτος.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Αἰγοκέρωτος ἐτῶν γ' ἀσθενήσει, ταράξει τὴν πατρικὴν οἰκίαν. Ἔσται ὑπὸ ζυγὸν θείων ἀνθρώπων, χρόνον τινὰ διατρίψει καὶ ὑπεραπέχουσιν ἀνδράσιν ὑπολείψεται. Ἣν ἁρμοσηται γυναῖκα τὸ πρῶτον,οὐ μὴ λάβῃ αὐτήν, ἄλλῃ δὲ συνοικήσει · οἱ δὲ πλείονες ἐν Αἰγοκέρωτι συνοικήσει περιπίπτουσιν νόσῳ καὶ ἀσθενείᾳ πικρᾷ, ἐνιαυτοῦ καὶ μηνῶν ἓξ ἀσθενήσει, ὥστε περιπατοῦντα αὐτὸν πτοεῖσθαι, περιστρέφεσθαι δὲ καὶ εἰς τὰ ὀπίσω καὶ μηδένα ὁρᾶν · ἔσται αὐτῷ σκοτώματα καὶ ναρκιασμὸς ὑπὸ χειρῶν, φορήτω φυλακτήριον Θεοῦ ὄνομα καὶ σὺν αὐτῷ ἀφροσέλινον ἀειθαλές, πευκέδανον, παιωνίαν, ἀμολίαν, ἀποσίστρον καὶ μηδὲν πτοείσθω. Παραφυλασσέσθω τοῦ τρέχειν, τοῦ παλαίειν, εἰς ὕψος μὴ ἀναμένειν, ποταμῷ καὶ ὕδατι ἀκαίρῳ μὴ παραβουλεύεσθαι. Ἔσται φρόνιμος, εὔπορος, ἀδόλεσχος. Ὅταν μὴ ἔχῃ, εὑρήσει, καὶ ὅταν ἔχῃ, ἀπολέσει, ἀπεχέσθω ἐγγυᾶσθαι, εἰ δὲ μὴ ζημίαν ἀντλήσει, ἔστω θυμώδης, ἰδιόπιστος, εὐμετάβλητος, τροπικός, ὀλιγόψυχος, φιλόμουσος, ἑαυτὸν πάντα διδάσκων,ξενιτεύσει καὶ κινδυνεύσει, νόσον καὶ πόνον κρυπτὸν σχῇ. Ἔσται φιλάνθρωπος, φιλογύναιος, ἱερῶν μυστηρίων μεθέξει ἕως ἐτῶν με', κλιμακτῆρα σχῇ εἰς τὰ γ' ἔτη, εἰς τὰ ζ',ια', ιθ', κα',κζ'

1 οὐκ ἐλύπη ἐπιθρέψῃ 5 ῥυσθήσεται 12 κινδυνεύει 14,15 αἰγοκέρατος bis 16 ταράξῃ 17 διατρίψῃ ἄνδρασιν 18 ὑπωλήψεται γυναίκαν 22 ὡρὰν αὐτὸ 23 ἀναρκιασμός. cf. p.189, 12. 24-25 Cf. supra p. 177,6. 26 ἀναμένην 27 Leg. παραλούεσθαι? 28 εὑρήσῃ ἔχει 31 ξενητεύσῃ 32 33 μεθέξῃ

λς', με', νγ', ξς'. Τοὺς κλιμακτῆρα τούτους διελθὼν ζήσει ἔτη οθ'. Σημεῖον σχῇ ἐπὶ τῶν γονάτων [f.154v] ἢ τοῦ αἰδοίου. Βλεπέτω βροντὴν καὶ ἀστραπήν, εἰς δένδρον μὴ καταφύγῃ, ἀλλ' εἰς οἰκίαν. Ὅταν ἀῤῥωστῇ, λαβέτω ἐξ αἰγὸς κέρατος ἀπόξυσμα καὶ τρίχας ἀπὸ τοῦ μετώπου καὶ τῆς οὐρᾶς καύσας, μίξας θεῖον καὶ λίβανον ἀλειφέσθω.

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Αἰγοκέρωτος ἔσται καλοειδής, ἄνδριος, ἀνδροψέκτρια, μυστηρίων ἰδίων ἢ ἀλλοτρίων φύλαξ, ἱερῶν μεθέξει, διὰ τὸ εἶναι τοιοῦτον τὸ ζῴδιον, ἔσται φιλόγαμος καὶ παρά τινων ἀχαριστίας ἀκούσει, οἰκονομική, φιλόφιλος, φιλόμουσος, εὐφυής, εὔπορος, φιλόστοργος · πονέσει γόνατα, πόδας καὶ χεῖρας, σκοτώματα σχῇ τῆς κεφαλῆς καὶ ναρκιασμὸν τῶν χειρῶν. Φορήτω φυλακτήριον Θεοῦ ὄνομα, ἀφροσέλινον ἀειθαλές, πευκέδανον, παιωνίαν, ἀμολίαν καὶ ἀποσίστρον καὶ μηδὲν πτοείσθω. Ἔσται ὀλιγόψυχος, φιλάνθρωπος καὶ Θεῷ ἀποδιδοῦσα, ἀπὸ συνοχῆς πνεύματος κίνδυνον σχῇ καὶ εἰς ἴδιον ἄνδρα λυπηθήσεται, κλιμακτῆρα σχῇ εἰς τὰ ε' ἔτη ,ζ', ια', ιθ', λε', με', νγ', ξς'. Τοὺς κλιμακτηρᾶς τούτους διελθοῦσα ζήσει ἔτη οθ'. Ὅταν ἀῤῥωστῇ, λαβέτω ἐξ αἰγὸς καθὼς ἐν τῷ ἀῤῥένι ἐγράψαμεν.

Ζῳδίου ια' τοῦ Ὑδροχόου.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τοῦ Ὑδροχόου τὸν πρῶτον ἐνιαυτὸν ἐὰν παρέλθῃ καὶ ἀναπληρώσῃ ἔτη ε', πολλοὺς χρόνους ζήσεται· Ἔσται ἀναλυτικός, μετὰ γυναικὸς ἀκαταστατήσει, περὶ παιδίου λυπηθήσεται, ἀπὸ ἐργαστηρίου χρήματα κτήσεται, παραθήκην λαβὼν ἀποστερήσει, τῇ ὄψει ἔσται καλός, οὐλόκομος [f. 155], φιλόκαλος, τὴν οἰκίαν αὐτοῦ ὠφελήσει, ἰδιόπιστος, αὐστηρός, φιλόνικος, εὐαπολόγητος, βαρύθυμος, ὀργιστής. Σῦκα ξηρὰ μὴ ἐσθιέτω καὶ βόειον κρέας πολύ · εἰ δὲ ἀσθενήσει καὶ φάγῃ,διπλοῦν ἀσθενήσει, πονέσει ἧπαρ καὶ κοιλίαν, πόδας, μηροὺς καὶ ἰσχίον, γεράσκων αἰτίαν ἀνοίξει, σχῇ κλιμακτῆρα εἰς τὰ ἔτη τὰ ε' καὶ θ', θυμὸν μέγαν ἕξει, ὥστε θάνατον αὐτὸν ἐγγίσαι καί τινες τῶν θεωρούντων αὐτὸν ἀπογνώσονται αὐτοῦ. Ἔσται καλός, εὐφραντικός, εὐπροαίρετος, ἕξει κτήσεις καὶ ἀποβολὰς καὶ τύχην ἀνώμαλον ἕξει, τινὰ δὲ καὶ κληρονομήσει καὶ φθονηθήσεται, σχῇ κλιμακτῆρα

2 αἰδίου 4 αἰγοκέρατος cod., sed cf. v. 19 10 ἀκούσῃ 11 φιλώστουργος 12 ἀναρκισμόν 22 ἀναπληρώσει 25 ἀποστερήσῃ 26 ἰδιόπισμος. cf. supra p. 188, 29 29 σχίον 30 γειράσκων ἀνύξῃ 31 ἔξῃ 33 εὐπρωέρετος ἔξῃ 34 ἔξῃ

εἰς τὰ γ' ἔτη καὶ ε', ζ', θ', ια', ις', κε', κη', λ', λε', μβ'. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη πβ'. Ὅταν ἀῤῥωστῇ, λαβέτω κόκκους δάφνης, κριθῆς ἀγρίας, ἀσφάλτου ἰουδαικῆς, θεῖον καὶ λίβανον, μίξας σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω.

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τοῦ Ὑδροχόου ἔσται τραχεῖα, εὔγλωσσος, εὐαπολόγητος, ἄλλους οὐχ ὑπολείψεται τρέφουσα καὶ ἀχαριστηθήσεται· ἔσται γνωστική, πολύκληρον βίον σχῇ, ἐπὶ τέκνοις καὶ ἀνδρὶ εὐφρανθήσεται, ταφῆς ἀγαθῆς τύχῃ, ἔσται μετέωρος, παιζογέλως, εὐμετάδοτος, ὀξεῖα, θυμώδης, ἀῤῥωστική· ἡ ἀσθένεια αὐτῆς ἀπὸ κεφαλῆς καὶ τῆς κοιλίας καὶ τῶν ἔσωθεν, πονέσει ἧπαρ, πόδας καὶ χεῖρας διὰ τὸ κάθυγρον εἶναι τὸ ζῴδιον, Σῦκα ξηρὰ μὴ ἐσθιέτω μήτε βόειον κρέας πολύ. Ἔσται φιλόστοργος, ἐλεημονητική, φρόνιμος, τὴν τύχην ἀνώμαλον σχῇ καὶ παρά τινων ἀχαριστίας ἀκούσει· κλιμακτῆρα σχῇ εἰς τὰ γ' ἔτη καὶ ε', ζ', θ', ια', ιζ', κε', κη', λ', λε', μβ'. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη πβ'. [f. 155v]. Ὅταν ἀῤῥωστῇ, λαβέτω κόκκους καθὼς ἀνωτέρω ἐγγράψαμεν.

Ζῳδίου ιβ' τῶν Ἰχθύων.

Ὁ γεννηθεὶς ἐν καιρῷ ζῳδίου τῶν Ἰχθύων ἐτῶν γ' ἀσθενήσει καὶ πρὶν γενέσθαι αὐτὸν ιθ' ταράξει τὴν πατρικὴν οἰκίαν καὶ βλάψει τοὺς γονεῖς καὶ λυπήσει τοὺς ἰδίους σώματι ἢ χρήματι, ἢ ἀναγκαίῳ τινί. Ἔσται στασιαστής, ἀντίλογος, τέκνα σχῇ ἀῤῥενικὰ καὶ θηλυκὰ καὶ εἰς τὰ πρῶτα λυπηθήσεται, ὁ βίος αὐτοῦ οὐκ ἐκλείψει. Ἔσται ψιθυριστής, γοργός, ἐρωτικός, στρογγυλοκέφαλος, ὑπόπυῤῥος, ὑπέρυθρος, τῇ πορείᾳ βραδύς, φρόνιμος, φιλοπότης, ὑπὸ τῶν ἀνθρώπων ἀγαπηθήσεται, διὰ πολλῶν χρημάτων πολιτευθήσεται· ὅτε ἔχῃ, ἀπολέσει, καὶ ὅτε μὴ ἔχῃ, εὑρήσει, καὶ ἰσχύσει παρὰ ἐνδόξοις ἀνδράσιν, γυναῖκα πρῶτος κατορύξει, πάθος σχῇ ἐν τοῖς σπλάγχνοις, πολλὰ ἔτη βιώσεται. Τρίγλας καὶ πράσα μὴ ἐσθιέτω. Ἔσται ἐκδημητικός, ταξιάρης, πρεσβυτικός, εὔλογος. πονέσει παρίσθμια, κοιλίαν, πόδας. Φυλασσέσθω ἀπὸ ξίφους καὶ ὕψους, ὑπὲρ φίλων θήσει τὴν κεφαλὴν αὐτοῦ καὶ ἀχαριστηθήσεται, εἰς ἑτέραν γυναῖκα ψόγον ἀκούσει· κλιμακτῆρα σχῇ εἰς τὰ γ' ἔτη καὶ ε', ζ', ια', ιδ', κε', κη', λ', λε', με'. Τοὺς κλιμακτῆρας τούτους διελθὼν ζήσει ἔτη πβ', αὐλὴν βασιλικὴν πατήσει, ὑπὸ φίλων πολλῶν γνωσθήσεται καὶ τοὺς ἀντιδίκους νικήσει καὶ ἐχθροὺς ἀμυνεῖται· ἔσται ὑπὸ ζυγὸν θείων ἀνθρώπων καὶ πολλὴν χώραν γυρεύσει. Σημεῖον σχῇ ἐπὶ τῆς κνήμης ἢ τῶν ποδῶν ἢ τῆς κεφαλῆς. Ὅταν ἀῤῥωστῇ, λαβέτω Ἰχθύος παραβράχια, λίβανον καὶ θεῖον μίξας σὺν ἐλαίῳ κεδρίνῳ ἀλειφέσθω.

3 κόγκους 9 μετέορος παιζόγελος 12 βόενον 14 ἀκούση 16 κόγκους 20 ταράξῃ 21 βλάψῃ 24 ἐκλήψῃ 25 ὑπόπυρος 27 ἔχει bis 28 κατορύξῃ σπλάχνοις 29 πράσσα cf. supra p. 186, 9 30 ταξιάρις Leg. ταξιάρχης, πρεσβευτικός ? 31 πονέση 33 γυναίκαν ἀκούῃ

Ἡ γεννηθεῖσα ἐν καιρῷ ζῳδίου τῶν Ἰχθύων [f. 156] ἔσται καλή, εὐειδής, εὐόφθαλμος, τὴν οἰκίαν καὶ τοὺς γονεῖς αὐτῆς βλάψει. Ἔσται ἐπαφρόδιτος, ὁ ἀπαντήσας αὐτῇ καλῶς πράξει, ὑπὸ φαρμάκων βλαβήσεται, τίκτουσα κίνδυνον σχῇ, πνεύματα αὐτὴν λυπήσουσιν, ἀπὸ ὑστέρας πολλὰ χειμασθήσεται, πονέσει πρόσωπον, κεφαλήν, χεῖρας, κοιλίαν καὶ πόδας, συνοικήσει ἀνδρί τινι εὐγενεῖ ἄλλην χηρεύσαντι. Ἐὰν δὲ ἄλλως συνοικήσῃ, ἵνα μηδὲ χηρεύσας ᾖ μήτε συγγενής, οὐ μὴ διαμένῃ μετ' αὐτοῦ, παιδία αὐτῇ ἔσται ἀῤῥενικὰ καὶ θηλυκὰ καὶ εἰς τὰ πρῶτα λυπηθήσεται. Παραφυλασσέσθω ἀνεμοζάλην καὶ ἄκαιρον ὥραν, ἔξω μὴ εὑρισκέσθω, εἰς ἑταίρους ἄνδρας ψόγον ἀκούσει καὶ εἰς ἴδιον λυπηθήσεται. ὁ βίος αὐτῆς οὐ μὴ διαλείψει, κλιμακτῆρα σχῇ εἰς τὰ γ' ἔτη καὶ ε', ζ', ια', ιδ', κε', κη', λε', μβ'. Τοὺς κλιμακτῆρας τούτους διελθοῦσα ζήσει ἔτη πβ'. Σημεῖον σχῇ ἐπὶ τοῦ προσώπου ἢ ταῖς μάλαις ἢ τῶν ποδῶν. Ὅταν ἀῤῥωστῇ, λαβέτω Ἰχθύος βράγχη καὶ θεῖον καὶ λίβανον, καθὼς καὶ ἀνωτέρω ἐγράψαμεν ἐν τῷ ἄῤῥενι.

<Περὶ τοῦ Ἡλίου πότε δέχονται αὐτὸν τὰ ζῴδια>

F. 156. Μηνὶ Μαρτίῳ κα' δέχεται τὸν Ἥλιον Κριός. Μηνὶ Ἀπριλίῳ κ' δέχεται τὸν Ἥλιον Ταῦρος. Μηνὶ Μαίῳ *δέχονται τὸν Ἥλιον Δίδυμοι. Μηνὶ Ἰουνίῳ κδ' δέχεται τὸν Ἥλιον Καρκίνος. Μηνὶ Ἰουλίῳ κδ' δέχεται τὸν Ἥλιον Λέων. Μηνὶ Αὐγούστῳ κγ' δέχεται τὸν Ἥλιον Παρθένος. Μηνὶ Σεπτεμβρίῳ κβ' δέχεται τὸν Ἥλιον Ζυγός. Μηνὶ Ὀκτωβρίῳ κβ' δέχεται τὸν Ἥλιον Σκορπίος. Μηνὶ Νοεμβρίῳ κα' δέχεται τὸν Ἥλιον Τοξότης. Μηνὶ Δεκεμβρίῳ κα' δέχεται τὸν Ἥλιον Αἰγόκερως. Μηνὶ Ἰανουαρίῳ κ' δέχεται τὸν Ἥλιον Ὑδροχόος. Μηνὶ Φεβρουαρίῳ ιθ' δέχονται τὸν Ἥλιον Ἰχθύες.

3 ἀμίνεται θεῖον 5 παραβράχεια 8 βλάψη 9 πράξη 13 εἰ 14 συγγενῆς δηαμήνη 17 ἀκούση 1 8διαλήψει 21 βράχη

De fugitivis et de peregrinatione.

Tria capitula inedita, duo prima de rebus deperditis et de fugitivis ex libro apotelesmatico P a l c h i, cap. 25 et 26 (= cod. Flor. 11, f. 218ᵛ sqq. ; cod. Rom. 2, f.104), tertium de peregrinatione, videlicet H e p h a e s t i o n i s T h e b a n i (= cod. Par. 47, f. 126 ; cf. cod. Venet. 6, f. 181), hic edimus.

De astrologo Palcho vide Fr. Cumont, *Revue de l'Instruction publique en Belgique*, t. XL, 1897, p. 2 sqq., *Cat. astr.* I, p. 94 ; V, I, p. 171 ss, V, III, p. 125 ; VI, p. 63 ss. ; VIII,I, p.182 ss, 248 ss. ; XI, I, p. 232, 270.

F. 157. *Π ε ρ ὶ τ ό π ο υ ο ὗ ὀ φ ε ί λ ε ι ε ὑ ρ ε θ ῆ ν α ι τ ὸ ἀ π ο λ λ ύ μ ε ν ο ν ἢ ὁ κ λ έ π τ η ς.*

Ἐὰν ἐν τῷ <τοῦ> Κρόνου ζῳδίῳ ὁ κύριος τῆς ἡμέρας ἢ τῆς ὥρας εὑρεθῇ, ἐν ὄρεσιν καὶ ὑψηλοῖς τόποις ἢ εἰς γῆν ἀποκεκρυμμένον ἢ εἰς τοῖχον, ἔνθα ἄσπερμοί εἰσιν ὡς καὶ ὁ Κρόνος (1). *ἐὰν δὲ ἐν τῷ τοῦ Ἄρεος, ἔνθα πηγαὶ καὶ φρέατα· ἐὰν δὲ τοῦ Διὸς τῇ ε′ [ἡμέρᾳ], ἐν νήσοις ἢ ἀμπέλοις· ἐν δὲ τοῖς τῆς Σελήνης, ἐν ποταμοῖς ἢ πλησίον ὑδάτων· ἐν δὲ <τοῖς> τοῦ Ἡλίου, ἐν σπηλαίοις ἢ λαμπροῖς τόποις· ἐν δὲ τοῖς τῆς Ἀφροδίτης, ἔνθα καρποί· ἐν δὲ τοῖς τοῦ Ἑρμοῦ, ἐν πόλει.*

Π ε ρ ὶ τ ῶ ν δ ρ α π ε τ ε υ ό ν τ ω ν

Ὁ ὡροσκόπος ἐστὶν ὁ δραπετεύων καὶ ὁ χρόνος τῆς εὑρέσεως αὐτοῦ, τὸ μεσουράνημα ἡ αἰτία τῆς ἀποφυγῆς καὶ ὁ δεσπότης τῶν ποινῶν, τὸ δυτικὸν τὸ ἀποτέλεσμα τοῦ δραπετεύσαντος· τὸ ὑπόγειον εἰς ποῖον κλίμα ὑπάγει ἢ ποῦ μέλλει ὁδεύειν.

α′. Κριοῦ ὡροσκοποῦντος ὁ δραπετεύσας εὑρεθήσεται ἐν τάχει, πρὸς ἀνατολὰς δὲ πορευθήσεται, τῷ εἴδει ἔσται εὐτύπωτος, μακροπρόσωπος, ὑπόπυῤῥος, λευκόφθαλμος, χείλη καὶ ὦτα μεγάλα ἔχων, τὰ κάτω λεπτός, μέσον λεπτὸς καὶ μεστός· σημεῖον δὲ ἕξει ἐπὶ τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν.

β′. Ταύρου ὡροσκοποῦντος δυσκόλως εὑρεθήσεται, πρὸς ἀνατολὰς δὲ πορευθήσεται ἢ ἐπὶ τὴν χώραν αὐτοῦ, τῷ δὲ εἴδει ἔσται τετράγωνος, στρογγυλοπρόσωπος, ἔνσιμος, τὸ γένειον ἔγκοιλος, ὦτα μεγάλα ἔχων, παχυτράχηλος, τὰ ἄνω μέρη μεστός, τὰ κάτω λεπτός, τῇ φονῇ εὐμελής, εὐπρεπής, εὐκίνητος, μεγαλόφθαλμος· σημεῖον δὲ ἕξει ἐν τῷ τραχήλῳ.

γ′. Διδύμων ὡροσκοπούντων βραδέως εἰς ὃν ἐδραπέτευσεν τόπον πορευθήσεται καὶ οὐ μενεῖ· ἔσται δὲ ὁ εἰς τὰ πρῶτα τῶν Διδύμων ἕως μοιρῶν ιε′ γλαυκόφθαλμος, στρογγυλός· σημεῖον δὲ ἢ τομὴν ἕξει ἐπὶ τῶν χειρῶν· ὁ δὲ ἐν ταῖς ἐσχάταις μοίραις ἔσται εὐπώγων [f.157ᵛ] *τετράγωνος, μεγαλόφθαλμος· ἐπὶ δύσιν δὲ φεύξεται σὺν ἑταίρῳ· καθόλου δὲ τὸ ζῴδιον ποιεῖ ἀστεῖον, κόσμιον, καθάριον, εὐπρεπῆ, ἱλαρόν, εὔχρουν.*

δ′. Καρκίνου ὡροσκοποῦντος εὑρεθήσεται εὐθέως· ἔσται δὲ μικρός, ἐρυθρός, ὑπόγλαυκος, παρένσιμος, μεγαλοκέφαλος, ἀναφαλαντίας, μικρόφθαλμος, ἀσπρόχειλος· πρὸς ἀνατολὰς δὲ φεύξεται· σημεῖον δὲ ἢ τομὴν ἕξει ἐπὶ τοῦ στήθους ἢ τῶν ποδῶν· ἐν ταῖς πρώταις δὲ μοίραις εὑρεθήσεται.

ε′. Λέοντος ὡροσκοποῦντος δυσκόλως εὑρεθήσεται· ἔσται δὲ μακροπρόσωπος, τοὺς ὀφθαλμοὺς ἐξέχοντας ἔχων, μελίχρους, μᾶλλον

Codicem **M**(osquensem) descripsi ; **A**(ngelicum) contulit Cumont.
1-2 *Περὶ τοῦ ποῦ εὑρεθήσεται τὸ ἀπολόμενον* A   1 *ὀφείλει* M *τω* M   2 *ἢ ὁ κλέπτης* omis M   3 *τῷ* omis. A *τοῦ* suppl.   4 *ψιλοῖς* A *ἢ* A : *καὶ* M   5 *τύχον* M   *Κρόνος* A : *τοῦ Κρόνου* M   *ἐν τῷ τοῦ Ἄρεος* M : *Διὸς* cet. omiss. M   8 *πλησίων* M   *ἐν* M : *ἐὰν* A   *τοῖς* suppl.   9 *ἐν δε τῇ Ἀφροδήτῃ* M   10 *ἐν δὲ ἑρμῇ* L   11 *τοῦ δραπετεύοντος* M   12 *ὅρος ἐστὶν τοῦ δραπετεύοντος ὁ χρόνος* M   13 *τοῦ μεσουρανήματος καὶ* M

---

(1) Saturnus *ἄσπερμος* dicitur quia secundum astrologos senex est frigidus et inde *ἀσπέρμους* facit, cf. *Mélanges Bidez*, 1934, t. I, p. 149, n. 14.

---

1 *ὑπάει* M   2 *Κριοῦ ὡροσκοποῦντος* A : *ἐν καιρῷ τοῦ Κριοῦ* superscr. manu altera M   *τάχη* A   3 *εὔτυπος*   4 *μεγαλοπρόσωπος* M   *ὑπόπυρος* codd.   *λευκόφθαλμος* omis M   *ἔχων τὰ ὦτα μεγάλα* tranxsp M.   *τὰ* omis. A. cf. v. 22.   5 *λεπτὰ* M, *λεπτὸν καὶ μεστὸν* M : *λεπτόμεστος* A   6 *ἔξη* M   8 *δὲ* omis. A   9 *ἔνσιμος* A : *εὔσιμος* M   *γένιον εὔκοιλος* M   10 *ὦτα-παχυτράχηλος* omis. A   *μεστὸς* M : *μεγάλα ἔχων* A   11 *λεπτὸς* M : *λεπτὰ* A   *εὐμηλής* M   12 *ἔχει* M
13 *ὡροσκοποῦντος* M   14 *μένει* A : *μήνει* M   *ὁ* omis. M   16 *καὶ τομὴν* omis. M.   *ἔξη* M   *ἔσται* omis. A   18 *ἑτέρῳ* codd.   21 *παράσημος* M   21-22 *ἀναφαλανδέος* M   22 M *ἀσπρόχιλος* M *δὲ* omis A   23 *δὲ* omis M   24 *ἐν τῇ πρώτῃ μοίρᾳ* sine *εὑρεθήσεται* A   25 *δὲ* omis M   26 *ἔχων* A : *φέρων* M   *μελίνχρους* M. An leg. *μελάνχρους* cf. p. 194, v. 11

πολλὰ τρώγων, ἰσχυρός, καθάριος, μεγαλόστηθος, τὰ κάτω λεπτὰ ἔχων αἰσχρόστομος· φεύξεται δὲ πρὸς ἀνατολὰς ἀπὸ τῶν ιε΄ μοιρῶν, ἐν δὲ ταῖς ἐρχομέναις μοίραις εὑρεθήσεται· ἔσται μακροπρόσωπος, πυῤῥός, μεγαλόφωνος, ἀναφάλαντος; γλαυκός, μεγαλόχειλος, στερεός, πανοῦργος· φεύξεται δὲ πρὸς δυσμὰς ἢ βοῤῥᾶν.

ϛ΄. Παρθένου ὡροσκοπούσης εὑρεθήσεται βράδιον· ἔσται δὲ εὔμετρος, μελανόφθαλμος, ὦτα στρογγυλὰ ἔχων, ὡραῖος, ἀστεῖος, τρυφερός, ἥσυχος, εὔσημος, ἐνδήμιος, ἱλαρός· πρὸς ἀνατολὰς δὲ χρωρήσει· σημεῖον δὲ ἕξει ἐπὶ τῆς κοιλίας ἢ τῶν αἰδοίων.

ζ΄. Ζυγοῦ ὡροσκοποῦντος δύο φεύξονται, ἐν τάχει δὲ αὐτομάτως ἐλεύσονται· ἔσονται δὲ ὁ εἷς μελάγχρους, εὐπώγων, εὐμεγέθης, περίεργος, ἐρωτικός, πρὸς μεσημβρίαν δὲ πορεύσεται. . . . . .

η΄. Σκορπίου ὡροσκοποῦντος βραδέως εὑρεθήσεται· ἔσται δὲ τοῖς ὀφθαλμοῖς ἐπίσιμος, αἰσχρός, σαπροπώγων, [f. 158] δόλιος, ἀντίτυπος, ἀλλοτρίων ἐπιθυμητής· σημεῖον δὲ ἕξει ἐπὶ τοῦ αἰδοίου καὶ φεύξεται πρὸς Λίβα.

θ΄. Τοξότου ὡροσκοποῦντος βραδέως εὑρεθήσεται· ἔσται δὲ ἀστεῖος, εὐπρεπής, μελίχρους, στόμα στρογγυλὸν ἔχων, ὀξύῤῥινος, γνάθους κοίλας ἔχων, λεπτός· σημεῖον ἕξει ἐπὶ τῶν χειρῶν ἢ ἐπὶ τῶν ὀφθαλμῶν· πορευθήσεται δὲ πρὸς ἄρκτον.

